ΓΕΩΓΡΑΦΙΚΑ ΤΕ ΚΑΙ ΝΟΜΙΚΑ

ΤΗΝ

ΚΕΦΑΛΛΗΝΙΑΝ

ΑΦΟΡΩΝΤΑ,

Ἀποσπασθέντα τὰ μὲν ἐκ τῶν ΕΘΝΙΚΩΝ τὰ δὲ ἐκ τῶν

ΑΝΘΡΩΠΙΝΩΝ

ΕΥΛΥΡΟΥ ΚΕΦΑΛΛΗΝΟΣ ΤΟΥ ΠΥΛΑΡΕΩΣ.

Φέρουσι δὲ τὰ μὲν, ταύτην τὴν ἐπιγραφήν.

Αἱ τέσσαρες πρὸς ταῖς εἴκοσι των ΕΘΝΙΚΩΝ βίβλοι, ἃς Εὔλυρος ὁ Κεφαλλὴν ὁ τοῦ Ἑρμολάου καὶ Ἐλπινίκης ἔγραψε τῷ πεντακισχιλιοστῷ καὶ ἑνὶ πρὸς τοῖς τριάκοντα καὶ ἐννεακοσίοις τῆς τοῦ παντὸς δημιουργίας· τὰ δὲ ταύτην.

ΤΑ ΑΝΘΡΩΠΙΝΑ ΕΥΛΥΡΟΥ ΤΟΥ ΚΕΦΑΛΛΗΝΟΣ

Δημοσιευθέντα πρῶτον ἤδη

ΥΠΟ

Κ. ΣΙΜΩΝΙΔΟΥ

ΚΑΙ ΤΩι

ΜΕΓΑΘΥΜΩι ΛΑΩι

ΤΗΣ

Μεγαλεπιβούλου καὶ μεγαλήνορος

ΚΕΦΑΛΛΗΝΙΑΣ

ΠΡΟΣΠΕΦΩΝΗΘΕΝΤΑ.

» Ἀνεξέταστον μὴ κόλαζε μηδένα

» Κατηγορεῖν οὐκ ἔστι, καὶ κρίνειν ὁμοῦ,

» Κρίνειν τὸ δίκαιον, μὴ τὸ συμφέρον θέλε.

ΑΘΗΝΗΣΙ,

ΤΥΠΟΙΣ Φ. ΚΑΡΑΜΠΙΝΟΥ ΚΑΙ Κ. ΒΑΦΑ.

1850.

ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΚΡΗΤΗΣ
ΒΙΒΛΙΟΘΗΚΗ
18244

ΤΟΙΣ ΣΥΝΤΑΚΤΑΙΣ

ΤΩΝ

ΚΕΦΑΛΛΗΝΙΑΚΩΝ ΕΦΗΜΕΡΙΔΩΝ,

Τέκνοις γνησίοις, καὶ μάρτυσιν ἐπιζήλοις τῆς πολυποθήτου

παρὰ πᾶσι

ΘΕΑΣ ΕΛΕΥΘΕΡΙΑΣ,

χαίρειν καὶ ἐῤῥῶσθαι.

ΦΙΛΤΑΤΟΙ, ὅτε ὁ Βρετανὸς τὴν *Θεὰν Ἐλευθερίαν* ἐν δεσμοῖς περιέπλεκεν ἁλύσεων βαρυτάτων, καὶ τὸ σῶμα αὐτῆς διάτρητον ἐποίει λόγχῃ ἀργυρᾷ, ὁ ἀπὸ τοῦ αἵματος βαρυωπήσας τοὺς ὀφθαλμοὺς, ὁ σκόλιθρος ἀνὴρ οὗτος, καὶ τὸν βωμὸν αὐτῆς τὸν ἱερὸν κατέσκαπτε προδοτικῇ σκαπάνῃ, καὶ ἐπὶ τῶν ἐρειπίων τὰ τέκνα αὐτῆς τὰ φίλτατα ἰληδὸν ἔθυε αἱμοβόρῳ χειρί! πρόφασιν ἔχων τὴν λῃστείαν καὶ τὰ παραπλήσια γεννήματα τῆς μιαρᾶς, καὶ Ἐλευθεροκτόνου τῶν Βρετανῶν Βασιλείας, τότε ἀπέσπων κἀγὼ (ἐν ἀγνοίᾳ εὑρισκόμενος) τεμάχιά τινα ἐκ τῆς ὅλης συγγραφῆς τῶν τοῦ *Ευλύρου Ἐθνικῶν*, ταῦτα τὰ ἀνὰ χεῖρας, τὰ καὶ τὴν Κεφαλληνίαν ἀφορῶντα, τροχάδην διελθὼν τὴν ὅλην συγγραφὴν, τὴν πάνυ πολύτιμον, ἥν περ ἠξιώθητε καὶ ὑμεῖς, φίλτατέ μου Ἠλία Ζερβὲ τοῦ ἀληθῶς, *ΦΙΛΕΛΕΥΘΕΡΟΥ* Συντάκτα, ἀσπασθῆναι, ὅτε τὰς κλεινὰς Ἀθήνας, τὸ μεσότειχον τῆς Ἀνατολῆς, τὸ κάρφος, τοῦ αἱμοσταγοῦς Βρετανικοῦ Θρόνου ἐπεσκέπτου.

Οτε, λέγω, ταῦτα ἀπέσπων κατ᾽ αἴτησιν ὑμετέραν, καὶ τὸ τέρμα τῆς αἰτήσεως ἐγγὺς ἦν περαιωθῆναι, αἴφνης εἶδον ὑμᾶς ἐπαγομένους, φεῦ! βιαίᾳ καὶ αἱμοβόρῳ χειρὶ, τοὺς μὲν εἰς Παξοὺς, τοὺς δὲ ἀλλαχοῦ, ὡς ἔδοξε τῷ αἱματοῤῥόφῳ τυράννῳ, οὗ ἡ μορφὴ κτήνεσι παραπλησίᾳ ἐστὶ, καὶ ἡ ψυχὴ κακοῦργος ὅλη.

Ἀλλ᾽, ὦ τέκνα τῆς Ἐλευθερίας γνήσια, μηδαμῶς πτοηθῆτε ἐπὶ τοῖς κακουργήμασι τοῖς σκληροῖς τούτου. Αν ὁ τύραννος οὗτος ὁ ὑμέτερος ἐβασάνισεν ὑμᾶς ἐπὶ τοσοῦτον, καὶ τὰς ἀγυιὰς τῆς μεγαθύμου Κεφαλληνίας αἱμάτων ἀδελφικῶν ἐπλημμύρισε, τὴν αἱμα-

κορίαν ἐπετέλει τοῦ Βρετανικοῦ σκήπτρου, ἤτοι τὴν ὅσον οὔπω ἐλευσομένην μακαρίαν. Προεορτάζων δι' αὐτῆς τὴν πτῶσιν τῆς ἀλαζόνος Βρετανίας ἐν τῇ δόξῃ αὐτῆς, προφητεύων καὶ ἄκων ὁ τάλας (ὡς ὁ συνάδελφος αὐτοῦ Καϊάφας) *συμφέρει ὑπὲρ τῆς παντελοῦς ἀπολυτρώσεως τῆς Ἑλληνικῆς φυλῆς ἁπάσης ἀπαγχονίσαι καὶ ἐξοστρακίσαι τοὺς μεγαθύμους Κεφαλλῆνας καὶ τὴν πόλιν αὐτῶν κατασκάψαι ἐδάφους μέχρι, καὶ πάντας ἡβηδὸν κατασφάξαι τοὺς κατοίκους.*

Ἔτι μικρὸν ἀδελφοὶ καὶ ἡ ὥρα τῆς ἐκδικήσεως ἐγγύς ἐστιν. Ἤδη θεωρῶ ἐρχόμενον τὸν ἄγγελον τῆς ἐκδικήσεως, τὸν μέγαν, περιβεβλημμένον νεφέλην μέλαιναν, ἐπαναβλητὴν τὴν χλαμύδα φέροντα καὶ ῥομφαίαν κρατοῦντα πύρινον ὅλως, ἀνατεταμμένην καὶ λέγοντα φωνῇ τῇ μεγάλῃ, ὡς φωνῇ λεόντων πολλῶν ὀρυομένων. «*Ἀπόδοτε αὐτῇ, ὡς καὶ αὐτὴ ἀπέδωκεν ὑμῖν, καὶ διπλώσατε αὐτῇ διπλᾶ κατὰ τὰ ἔργα αὐτῆς· ἐν τῷ ποτηρίῳ, ᾧ ἐκέρασε κεράσατε αὐτῇ διπλοῦν*». Ναὶ φίλτατοί μου συντάκται, τῆς Ἐλευθερίας σάλπιγγες, ἐγγὺς ὁ καιρὸς τῆς ἐκδικήσεως, ἐγγὺς καὶ ταχύς· τότε καὶ ἡμεῖς ἐπὶ δίφρου χρυσοῦ τῆς Θεᾶς ἐποχούμενοι κηρύξατε στεντορίᾳ τῇ φωνῇ τὸ, «*Ἔκρινεν ὁ Θεὸς τὴν πόρνην τὴν μεγάλην, ἥτις ἔφθειρε τὴν γῆν ἐν τῇ πορνείᾳ αὐτῆς, καὶ ἐξεδίκησε τὸ αἷμα τῶν δούλων αὐτοῦ ἐκ τῆς χειρὸς αὐτῆς*».

Ταῦτα ἀρκέσθωσαν ἐπὶ τοῦ παρόντος, φίλτατοι· νῦν δὲ ἐπὶ τὸ προκείμενον μεταβιβάσωμεν τὸν λόγον. Περαιωθείσης τῆς ἐπιθυμίας ὑμῶν, ὅτε ἐκεῖναι αἱ τραγικαὶ καὶ ἀνήκουστοι πάντως γε σκηναὶ ἐξετελοῦντο, ἐν παρανομίᾳ ἀκατανοήτῳ τῇ τοῦ Παλμερστῶνος βαρβάρῳ βουλήσει, ἀνέμενον τὸν κατάλληλον καιρὸν, ἐν ἀγανακτήσει ψυχῆς πρὸς τὸ ἐξαποστεῖλαι τὰ ἀποσπάσματα ταῦτα ὑμῖν καθάπερ ὑπεσχέθην, καὶ τὸ φῶς ἴδωσι· δυστυχῶς δὲ μείνας ἐπὶ πολὺ ἀναμένων (τὴν μεταβολὴν τῆς τύχης ὑμῶν ἐπικαλούμενος, ἀεὶ ἐν δάκρυσι ψυχῆς, καὶ ἀσπαζόμενος νοερῶς τὸν ἀμάραντον στέφανον, ὃν ἡ Θεὰ, ἡ τρισολβία αὕτη Θεὰ Ἐλευθερία σὺν τῇ μητρὶ ἡμῶν Ἑλλάδι ἐκόσμησεν, δι' ὃν μαρτυρικὸν ἀγῶνα ὑπέστητε ὑπὲρ αὐτῶν ἐν ταῖς ἡμέραις ταύταις) καὶ ἰδὼν τὸν χρόνον παρερχόμενον, δημοσιεύω αὐτὰ εἰς ἣν εὑρίσκομαι πόλιν, τὰς Ἀθήνας, καθὰ καὶ οἱ ἐνταῦθα φίλοι ἡμῶν ἐξητήσαντο ἤδη διὸ καὶ τὴν ἀδελφικὴν ὑμῶν ἐξαιτοῦμαι συγγνώμην.

Ἐκ τῶν ὀλίγων τούτων, φίλτατε, τεμαχίων, ὧν τὴν δημοσίευσιν σήμερον ἐπεχείρισα, πάντες μαθήσεσθε ὁποίας ἀξίας ἐστὶν

ἡ Εὐλύριος αὕτη συγγραφή. Τὰ ἀποσπάσματα ταῦτα ἰδόντες πολλοὶ ἐκ τῶν ἀληθῶς πεπαιδευμένων, ἐκτὸς ἑαυτῶν ἐκ τῆς χαρᾶς ἐγένοντο. Ἡ πολύτιμος εἰς τὰ μάλιστα αὕτη συγγραφὴ κατὰ τὴν κρίσιν πολλῶν, καὶ σχεδὸν ὅλων (ἐξαιρουμένων τινῶν ἡμιμαθῶν ἐχθρῶν τῆς ἀληθείας ἀργυρωνήτων ἀνδραπόδων τοῦ ξενισμοῦ καὶ ἐπὶ προδοσίᾳ καυχομένων) διδάξει ἡμᾶς μετ' ἀκριβείας τῆς πολλῆς τὴν γεωγραφίαν τῆς γῆς ἁπάσης, ἰδίως δὲ τῆς παλαιᾶς Ἑλλάδος, αὐτῆς τῆς γῆς, ἣν καὶ κατοικοῦμεν, καὶ δυστυχῶς πάντες ἀγνοοῦμεν, ὡς ἐξαφανισθέντων τοσούτων συγγραμάτων ἐνδόξων συγγραφέων, ἐνδιαφερόντων τὰ μάλιστα πάντας ἀνθρώπους, ἰδίως δὲ τοὺς δυστυχεῖς ἡμᾶς ἀπογόνους τῶν εὐκλεῶν ἐκείνων ἀνδρῶν, τῶν εὐεργετῶν τῆς ὑφηλίου.

Ὁ Εὔλυρος πατρίδα μὲν ἔσχε τὴν μεγάθυμον Κεφαλληνίαν, καθὰ πολλαχοῦ μνημονεύεται ἐν τοῖς χειρογράφοις τοῖσδε, τοῖς φερωνύμοις « *ΧΙΑΚΑ Μάκαρος τοῦ Χίου* (1), *Θεσσαλικὰ Κασσάνδρου τοῦ ἐξ Ἰωλκοῦ* (2), *Διερούπου Ἀνδρέου τοῦ Συμαίου Παγκόσμιος Ἱστορία* (3), *Περσικὰ Κεραπόλου Φιλοκτήτου τοῦ Κασίου* (4), *Κερκυραϊκὰ Κλεάνδρου τοῦ Κερκυραίου* (5), *Πυ-*

(1) Τοῦτο τὸ χειρόγρ. τὴν Χιακὴν Ἱστορίαν περιγράφει ἀπὸ τῶν μυθικῶν χρόνων ἀρχόμενον καὶ λῆγον μέχρι τοῦ ϛ'. μ. Χ. αἰῶνος· διαιρεῖται μὲν εἰς βιβλ. 80, κεφ. δὲ 170 καὶ σύγκειται ἐκ σελίδων 397. Χρονολογεῖται τῷ ͵ϛριθ (611 μ. Χ.)

(2) Τοῦτο τὰ τῶν Θεσσαλῶν ἐν παρόδῳ ἱστορεῖ· ἀπὸ τῆς γεννήσεως τοῦ Μεγάλου Ἀλεξάνδρου μέχρι Κωνσταντίνου τοῦ Μεγάλου, ἐν τρισὶ βιβλίοις καὶ σελίσιν ἑκατὸν καὶ πεντήκοντα· ἐγράφη δὲ τῷ ͵ϛσϙή (790 Μ. Χ.). Ἴδε τὸν βίον αὐτοῦ ἐν τῇ Συμαΐδι σελ. 94.

(3) Ἐν τούτῳ τῷ χειρογράφῳ ὁ συγγραφεὺς ἱστορεῖ, ὅσα ἐν διαστήματι τεσσαράκοντα ἐτῶν τῆς περιηγήσεως αὐτοῦ ἐν ταῖς πόλεσι τῆς Αἰγύπτου, Ἀραβίας, Περσίας, Ἰνδίας, Λιβύης, Ἀσίας καὶ Εὐρώπης, εἶδεν ἰδίοις ὄμμασι γενόμενα, ἃς ἐπεσκέφθη· τὸ χειρόγραφον τοῦτο ἐκ 1038 σελίδων συγκείμενον, βιβλίων 60 καὶ κεφαλαίων 797, ἐγράφη τῷ ͵ϛφξέ. (1057 μ. Χ.). (Ἴδε καὶ τὸν βίον αὐτοῦ ἐν τῇ Συμαΐδι σελ. 113).

(4) Ἐν τούτῳ ὁ συγγραφεὺς περιγράφει, ὅσα εἶδεν ἰδίοις ὄμμασιν ἐν τῇ Περσίᾳ κατὰ τὴν τριακονταετῆ Περιήγησιν αὐτοῦ καὶ τὴν ἱστορίαν αὐτῆς ἀπὸ Ξέρξου τοῦ Βασιλέως ἀρχόμενος· σύγκειται δὲ ἐκ βιβλίων 27, διαιρουμένων εἰς κεφάλαια 293 τὸ δὲ ὅλον τῆς συγγραφῆς ἐκ σελίδων 455. Ἐγράφη δὲ τῷ ͵ϛφπά. (1083 Π. Χ.). Ἴδε Συμαΐδος σελ. 113.

(5) Τοῦτο περιστρέφεται εἰς τὰ ἐπὶ τῆς ἐποχῆς αὐτοῦ ἱστορικὰ γεγονότα ἐν τῇ πατρίδι αὐτοῦ Κερκύρᾳ· σύγκειται δὲ ἐκ σελ. 66 καὶ διαιρεῖται εἰς βιβλία δύο καὶ κεφάλαια 33· ἐγράφη τῷ ͵ϛυϙϛ'. (988 μ. Χ.) Ἴδε Συμαΐδος σελ. 115.

θαγόρου Λοίρου τοῦ Σαμίου Χρονικὰ Σαμίων [6]· Πάλλαντος Καλλαβάμου Ἀθηναίου Ἱστοριῶν βιβλία γ'. [7]· Μεγακλέους Κνιδίου Μυσιακὴ βιβλιοθήκη [8], Μεγακλέους Κνιδίου Ναξικὰ [9], Μεγακλέους Κνιδίου Ναβαταῖοι [10]· Μεγακλέους Κνιδίου Ναϊσσαῖοι [11]· Μεγακλέους Κνιδίου Ἱστορικῶν Παρεκβολῶν βίβλοι ἐννέα [12]· Μεγακλέους Κνιδίου Ἰουδαϊκῆς Ἱστορίας βίβλοι ἑκκαίδεκα, ἐκ τῆς τοῦ Ἑκαταίου τοῦ Μιλησίου Ἰουδαϊκῆς Ἱστορίας, καὶ Ἑκαταίου τοῦ Ἀβδηρίτου Ἰουδαϊκῶν

(6) Τοῦτο τὰ ἐν τῇ Σάμῳ διατρέξαντα ἀπὸ Κωνσταντίνου τοῦ μεγάλου μέχρις ἡμερῶν τοῦ συγγραφέως περιέχει· σύγκειται δὲ ἐκ σελ. 429 καὶ διαιρεῖται εἰς βιβλία 5 καὶ κεφάλαια 87, ἑκάστη δὲ σελὶς περιέχει στίχους 63. Χρονολογεῖται δὲ ἡ γραφὴ τούτου τῷ ͵ϛχηγ'. (1165 μ. Χ). Ἴδε Συμαΐδος σελ. 153.

(7) Τοῦτο δὲ ἐπὶ τῇ ἀρχαιολογίᾳ τῶν Ἀθηνῶν περιστρέφεται καὶ ἐπὶ τῇ ἱστορίᾳ αὐτῶν τῶν ϛ'. μ. Χ. αἰώνων. διαιρεῖται δὲ εἰς βιβλία γ'. κεφ. 33, τὸ ὅλον 67 σελ. καὶ ἑκάστη τούτων στίχους 40 ἔχει· χρονολογεῖται δὲ τῷ ͵ϛρ'. (592 μ. Χ.) ὅτε ἐγράφη.

(8) Τοῦτο εἰς τὴν τῆς Μυσίας περιστρέφεται ἱστορίαν 5 αἰώνων, ἀρχόμενον ἀπὸ τὸν 3 π. Χ. αἰῶνα· περιέχει δὲ σελίδας 210 καὶ σύγκειται ἐκ βιβλίων δέκα, διαιρουμένων εἰς Κεφάλαια 172, ἡ δὲ σελὶς στίχους 80 φέρει. Ὁ καιρὸς τῆς γραφῆς, ἄγνωστος.

(9) Τοῦτο δὲ τὴν ἱστορίαν τῆς νήσου Νάξου περιγράφει ἐκ τῶν μυθικῶν χρόνων ἀρχόμενον· σύγκειται δὲ ἐκ σελίδων 112 διαιρουμένων εἰς βιβλία ἑπτὰ καὶ κεφάλαια 89· ἑκάστη δὲ σελὶς τούτου φέρει στίχους 93. Ὁ καιρὸς τῆς γραφῆς ἄγνωστος.

(10) Ἐν τούτῳ ὁ Μεγακλῆς τὴν ἱστορίαν τῶν Ναβαταίων, (ἔθνους ἀρχαίου Ἀραβικοῦ) πραγματεύεται· τὰ ἤθη αὐτῶν ὡς ἄριστος ζωγράφος ζωγραφεῖ, ὡς καὶ τὰς θρησκευτικὰς αὐτῶν τελετάς. Πρὸς τούτοις δὲ καὶ τοὺς ἐμπορικοὺς νόμους τούτων ἐκ τοῦ Ἀραβικοῦ εἰς τὸ ἑλληνικὸν μετενεγκὼν ἔσωσεν· σύγκειται δὲ ἐκ σελίδων 345, διαιρουμένων εἰς βιβλία 29 καὶ ταῦτα εἰς κεφάλαια 222. Ὁ καιρὸς δὲ τῆς γραφῆς ἄγνωστος. Ἑκάστη σελὶς τοῦ χειρογράφου τούτου φέρει στίχους 79.

(11) Ἐν τούτῳ γενεαλογεῖ ὁ Μεγακλῆς τοὺς κατοίκους τῆς Ναϊσσοῦ πόλεως, ἔνθα ὁ μέγας Κωνσταντῖνος ἐγεννήθη. Διαιρεῖται δὲ εἰς βιβλία 5, κεφάλαια 29 καὶ σύγκειται ἐκ σελ. 199 τετάρτου μεγέθους· φέρει δὲ ἑκάστη τῶν σελίδων στίχους 99. Ὁ καιρὸς τῆς γραφῆς ἄγνωστος.

(12) Ἐν τούτῳ τὴν ἱστορίαν τῶν Κώων, τὴν γενεαλογίαν, τοὺς νόμους καὶ τὰ ἤθη αὐτῶν περιγράφει, ἐκ τῶν μυθικῶν χρόνων ἀρχόμενος, καὶ λήγει ἐπὶ τῆς Αὐτοκρατορίας Μιχαὴλ τοῦ Τραυλοῦ· σύγκειται δὲ ἐκ σελίδων 112, διαιρουμένων εἰς βιβλία 5 καὶ ταῦτα εἰς κεφάλαια 79· ἡ δὲ σελὶς φέρει στίχους 66· Ὁ καιρὸς τῆς γραφῆς ἄγνωστος.

Ἱστοριῶν [13]· Μεγακλέους Κνιδίου Αἰγυπτιακῶν βίβλοι ὀκτώ, καθὰ Ἑκαταῖος ὁ Μιλήσιος καὶ ὁ Ἀβδηρίτης ἐν τοῖς Αἰγυπτιακοῖς [14]· Κλεάνδρου Λεομεδάλει καὶ Ἐνέργης τοῦ Καλυμνιάτου, Καλυμνιακῆς Ἱστορίας βιβλία δεκαοκτώ [15]· Ἀλεξίου Ἀρεστηνοῦ τοῦ Νομοφύλακος Χρονικὰ Ἐλάσσονος Ἀσίας [16]· Θεοῦ τοῦ ζῶντος ναῶν πίναξ [17]· Σμυρναίων Χρονικὰ Νι-

(13) Ἐν τούτῳ ὁ Μεγακλῆς τὴν ἀπ' ἀρχῆς ἱστορίαν τῶν Ἰουδαίων ἱστορεῖ γενεαλογικῶς ἀπὸ Ἀδὰμ ἀρχόμενος, γεωγραφῶν τὴν Ἰουδαίαν, καὶ τὰς ἀποστάσεις τῶν Ἰουδαϊκῶν πόλεων ἀπ' ἀλλήλων διακρίνει, τὸν ναὸν τῆς Ἱερουσαλὴμ καὶ τὰ ἐν αὐτῷ λεπτομερῶς περιγράφει, τὰ ἤθη καὶ ἔθιμα τοῦ λαοῦ, καὶ τῶν ἑορτῶν τὰς τελετάς, καὶ λήγει ἐπὶ τῶν ἡμερῶν Πτολεμαίου τοῦ Λάγου, ὡς καὶ ὁ Ἑκαταῖος ὁ Ἀβδηρίτης· ὕστερον δὲ ἄρχεται πάλιν τῆς ἱστορίας αὐτῶν δι' ἄλλου μέρους ἐπιγραφομένου «Ἰουδαίων τὰ μετ' Ἀβδηρίτου» καὶ λήγει μέχρι τῆς τοῦ Χριστοῦ γεννήσεως καὶ πάλιν διὰ τρίτου μέρους ἐπιγραφομένου «Ἰουδαίων τὰ μετὰ Ἰησοῦν τὸν Σωτῆρα τῶν λαῶν» καὶ λήγει ἐπὶ τῶν ἡμερῶν Μιχαὴλ τοῦ Τραυλοῦ αὐτοκράτορος, ὅτε καὶ ὁ συγγραφεὺς ἤκμαζε· Σύγκειται δὲ ἐκ σελίδων 444 διῃρουμένων εἰς βιβλία 16· ἔχει δὲ ἑκάστη σελὶς στίχους 49. Ἡ γραφὴ ἄγνωστος.

(14) Ἐν τούτῳ γενεαλογοῦνται οἱ Αἰγύπτιοι, καταμετρῶνται οἱ κάτοικοι τῶν πόλεων τῆς Αἰγύπτου, τῆς Εὐδαίμονός τε καὶ Πετραίας Ἀραβίας αἱ ἐκτάσεις τῶν πόλεων, αἱ ἀπ' ἀλλήλων ἀποστάσεις κτλ. Σύγκειται δὲ ἐκ βιβλίων 8, κεφαλαίων 99 καὶ σελίδων 322· ἔχει δὲ ἑκάστη στίχους 59. Ὁ καιρὸς τῆς γραφῆς ἄγνωστος.

(15) Τοῦτο δὲ τὸ χειρόγραφον περιγράφει τὴν καθόλου ἱστορίαν τῆς νήσου Καλυμνίας ἀπὸ τῶν ἀρχαιοτάτων αὐτῆς μυθικῶν χρόνων καὶ λήγει μέχρι τοῦ ϛ. μ. Χ. Αἰῶνος, δύω χιλιάδων ἐτῶν περίπου συμβεβηκότα διαγράφον· ἐν δὲ τῷ τέλει περιέχει περίληψιν Σκηψίου, Ἱστορικῆς βιβλιοθήκης τῶν Σποράδων νήσων, βιβλία τρία καὶ δύο ἕτερα, Λερικῆς Ἱστορίας Λερικὰ ἐπιγραφόμενα, τὰ πάντα βιβλία ιε'. ταῦτα δὲ ὑποδιαιροῦνται εἰς κεφάλαια 92 τὸ δ' ὅλον χειρόγραφον σύγκειται ἐκ σελ. 311 καὶ ἑκάστη σελὶς ἐκ στίχων 39 ἐγράφη δὲ τῷ ͵ςκέ. (517 μ. Χ.)

(16) Τὸ χειρόγραφον τοῦτο ἐκ τριῶν βιβλίων συγκείμενον, εἴκοσι κεφαλαίων, σελίδων δὲ 110 μικροῦ μεγέθους, ἐχουσῶν 22 στίχους ἑκάστης ἐξ αὐτῶν, τὴν ἱστορίαν 400 ἐτῶν τῆς μικρᾶς Ἀσίας σώζει· καὶ ἄρχεται ἀπὸ τοῦ πρώτου αἰῶνος μ. Χ. ἐγράφη δὲ τῷ 6665 ἀπὸ κτίσεως Κόσμου (1157 μ. Χ.).

(17) Καὶ τοῦτο ὁ αὐτὸς Ἀλέξιος ὁ Ἀρεστηνὸς ἔγραψεν, ὡς ἐν τῷ τέλει δείκνυται. Τοῦτο δὲ ἀριθμοῦν τὰς κατὰ καιρὸν Ἐκκλησίας ἡμῶν τῶν ὀρθοδόξων τὰς ἐν τῇ Ἀσίᾳ, Αἰγύπτῳ, Θράκῃ, Νήσοις, Θεσσαλίᾳ Μακεδονίᾳ, Ἠπείρῳ Ἀττικῇ, Βοιωτίᾳ καὶ Πελοποννήσῳ, διαιρεῖται εἰς τόσα μέρη· μνημονεύει δὲ τοὺς κτίτορας καὶ ἀρχιτέκτονας ἑκάστης Ἐκκλησίας, καὶ τὴν ἐποχὴν τῆς οἰκοδομῆς αὐτῶν· προςτούτοις δὲ καὶ τοὺς Ζωγράφους τῶν ἐκκλησιῶν· ἔχει δὲ σελίδας 202 εἰς τέταρτον καὶ ἑκάστη σελὶς φέρει στίχους 92. Ἐγράφη δὲ τῷ 6667 (1159 μ. Χ.).

χάνδρου τοῦ Νεοφύτου. (18) *Εὐπυλάρου τοῦ Κεφαλλῆνος ἢ Τριακοντατριὰς* (19). Ὁ δὲ Νικηφόρος Δαιδάλου ὁ Κερκυραῖος ὃς καὶ τὴν συγγραφὴν αὐτοῦ ἅπασαν μετέγραψε, τὴν διασωθεῖσαν μεχρις ἡμῶν, ταῦτα περὶ αὐτοῦ λέγει. «*Εὔλυρος ὁ Κεφαλλὴν
»ὁ Ἑρμολάου καὶ Ἑλπινίκης ἐγεννήθη τῷ πεντακισχιλιοστῷ
»καὶ τετάρτῳ ἐπὶ τοῖς ἐννενήκοντα καὶ ὀκτακοσίοις τῆς τοῦ
»παντὸς δημιουργίας, (τῷ 376 μ. Χ.) ἔν τινι κωμοπόλει τῆς
»Κεφαλληνίας τῶν ΠΥΛΑΆΡΩΝ προσαγορευομένῃ, ὡς ὁ αὐ-
»τὸς Εὔλυρος μεμαρτύρηκε λέγων. «ΠΥΆΛΑΡΑ, οὐδετέρως,
»κωμόπολις Κεφαλληνίας παραλία, γεννέθλιον δ' ἔδαφος τῷ
»γεγραφότι τάδε τὰ Ἐθνικὰ (Εὐλύρῳ)». Μαθητὴς δὲ γενόμενος
»ἐν τῇ ἈΠΟΛΛΩΝΙΆΔΙ Συμαίᾳ Σχολῇ μέγας ἐγένετο
»ἀνήρ· προσκολληθεὶς, δ' Ἀντωνίῳ τῷ Συμαίῳ τῷ τοῦ Θεοδο-
»σίου διδασκάλῳ δωραιαῖς ἐτιμήθη καὶ ἀριστείοις ἐκοσμήθη παν-
»τοίοις τῇ τοῦ Αὐτοκράτορος χειρί. Ἦν δ' ὁ Εὔλυρος τὸ γένος
»ἐπιφανὴς καὶ πάσης παιδείας ἔμπλεος Ἑλληνικῆς, χαρίεις
»τε καὶ μεγαλοπρεπής· τοιοῦτος δ' ὢν, καὶ παρ' Αὐτοκράτορι
»μένων ἐτιμᾶτο. Ὁ Εὔλυρος παρελθὼν τὴν πλείστην τῆς Ἀσίας,
»Ἑλλάδος δὲ χώραν ἅπασαν, θελήσει Αὐτοκρατορικῇ, ἐν δια-
στήματι ὀκτὼ ἐνιαυτῶν, τὰ Ἐθνικὰ ταῦτα τὰ ἀνὰ χεῖρας συνέ-
»ταξεν, ἐπανακάμπτων εἰς Βυζάντιον, Ἑκαταῖον τὸν πεφιλ-
»μένον αὐτοῦ βουλευόμενος ἀεί. Τοῦ Αὐτοκράτορος δὲ μετα-
»στάντος τῷ πεντακισχιλιοστῷ καὶ ὀγδόῳ ἐπὶ τοῖς πεντήκοντα
»καὶ ἐννεακοσίοις (τῷ 450 μ. Χ.) Ἰνδικτιῶνος ὀγδόῃ, τοῦ
»Βυζαντίου ἀπέρχεται καὶ τὴν γῆν διατρέχει Ἀσίας, Ἀραβίας,
»Αἰγύπτου, Λιβύης, Εὐρώπης καὶ νήσων, εἴκοσι καὶ τρεῖς ἐνιαυ-
»τοὺς καταναλώσας. Εἶτα ἐν τῇ πατρίδι αὐτοῦ γενόμενος καὶ
»τὰ ΑΝΘΡΩΠΙΝΑ γεγραφὼς ἐν δυσὶ καὶ τριάκοντα βίβλοις,
»τελευτᾷ τῷ πεντακισχιλιοστῷ καὶ δευτέρῳ ἐπὶ τοῖς ἐννενή-
»κοντα καὶ ἐννεακοσίοις (τῷ 484 μ. Χ.) Ἰνδικτιῶνος ἑβδόμῃ,*

(18) Τὸ χειρόγραφον τοῦτο συγκείμενον ἐκ σελίδων 115 περιγράφει τὰ ὅσα ἐν Σμύρνῃ συνέβησαν ἀπὸ κτίσεως αὐτῆς· διαιρεῖται δὲ ἡ συγγραφὴ εἰς βιβλία 12 καὶ ταῦτα εἰς κεφάλαια 67· ἑκάστη δὲ σελὶς φέρει στίχους 69 ἐγράφη δὲ τῷ ϛυ', (892 μ. Χ.).

(19) Ἡ συγγραφὴ αὕτη βιογραφεῖ τοὺς ἅπαντας σοφοὺς, ἥρωας, τεχνίτας καὶ βασιλεῖς τῆς γῆς ἀπὸ κτίσεως κόσμου· σύγκειται δὲ ἐκ σελίδων 699 βιβλίων τριάκοντα καὶ τριῶν, καὶ κεφαλαίων 459· ἡ σελὶς φέρει στίχους 88. Ἐγράφη τῷ τῷ ϛφϥϛ'. (1088 μ. Χ.) Ἴδε Συμαΐδος σελ. 114.

*»ὑπέργηρος πάνυ γενόμενος· ὀκτὼ γὰρ καὶ ἐννενήκοντα ἐτῶν
»διῆγε τὴν ἡλικίαν».* Βάσιν δὲ ἔχει ὁ Θαυμάσιος οὗτος γεωγράφος πολλὰ τῶν ἀρχαίων συγγράμματα, μυριαχοῦ τῆς συγγραφῆς αὐτοῦ ἀναφερόμενα καὶ ἐν τῇ τῶν *Ἐθνικῶν* καὶ ἐν τῇ τῶν *Ἀνθρωπίνων*, ἐξ ὧν τὰ μὲν πλεῖστα γνωστά εἰσι τὰ δὲ γεννηθόμενα ἂν Θεὸς εὐδοκήσει καὶ τὰ μὲν γνωστὰ παραλείπω συντομίας ἕνεκα, τὰ δὲ ἄγνωστα, οὐδαμῶς, τοῖς σοφοῖς χαριζόμενος. Εἰσὶ δὲ ταῦτα· ά) *Ἱεροδάμαντος τοῦ Συμαίου Ἱστορικοῖς ὑπομνήμασι βίβλοι ἐννεακαίδεκα ἐκ τῶν τοῦ Στράβωνος Ἱστορικῶν ὑπομνημάτων συνοπτικῶς, αἰτήσει τοῦ τῆς Ἀπολλωνιάδος Σχολῆς Πρυτάνεως Παρθενίου Θεοδούλου Σύμης κλέος* (20). *Περιλήψεις τῆς ὁλικῆς Ἑκαταίου τοῦ Μιλησίου συγγραφῆς τῆς καὶ ΠΕΡΙΟΔΟΥ ΓΗΣ ἐπιγεγραμμένης, καὶ εἰς ἓξ πρὸς τοῖς εἴκοσι καὶ ἑκατὸν ὑποδιῃρημένης, ἃς Ἱεροδάμας ὁ Συμαῖος ὁ τοῦ Νιρέως καὶ Παρθενίας εἰς ἐννέα πρὸς ταῖς πεντήκοντα βίβλους περιληπτικῶς συνετάξατο τῷ ΕΩϤΖ (389 μ. Χ.) χάριν τῶν ἐν τῇ Ἀπολλωνιάδι Σχολῇ ἐπὶ τῇ Ἱστορίᾳ ἐντρυφώντων νέων.* (21) *β') Ἱεροδάμαντος τοῦ Συμαίου Ὁμωνύμων συγγραφὴ, καθ' ἃ Δημήτριος*

(20) Ἐν τούτῳ ὁ Ἱεροδάμας σημειοῖ ἅπαντα τὰ ἱστορικὰ συμβεβηκότα, τὰ ποτὲ λαβόντα χώραν ἐν τοῖς πεπαλαιωμένοις καιροῖς οὐχὶ μόνον ἐν τῇ Ἑλληνικῇ γῇ, ἀλλὰ καὶ ἐν Ἀσιατικῇ, Αἰγυπτιακῇ, Λυβικῇ, Ἰνδικῇ καὶ λοιπῇ Εὐρωπαϊκῇ, ἐκ τῶν Τρωϊκῶν ἀρχόμενος χρόνων· σύγκειται δὲ ἐκ βιβλίων 19, κεφαλαίων 310 καὶ σελίδων 509· ἐγράφη δὲ τῷ 5,908 (400 μ. Χ.).

(21) Τοῦτο δὲ πάλιν θησαυρὸς ὢν μέγας, περιστρέφεται εἰς ἱστορικὰ, γεωγραφικὰ, καὶ γενεαλογικὰ διαφόρων ἐθνῶν, ὡς ἐκ τῶν ἐπιγραφῶν γίνεται δῆλον· σύγκειται δ' ἐκ σελίδων 1038, κεφαλαίων 797 καὶ διαιρεῖται εἰς τὰ ἀκόλουθα φερώνυμα μέρη. ά.) α Περιηγήσεων Ἀσίας βίβλοι ἓξ, ἐκ τῶν τοῦ Ἑκαταίου τοῦ Μιλησίου ὀκτωκαίδεκα τῶν Περιηγήσεων Ἀσίας. β) Ἰουδαϊκῆς Ἱστορίας βίβλοι ἕξ, ἐκ τῶν τοῦ Ἑκαταίου τοῦ Μιλησίου ἑκκαίδεκα τῶν Ἰουδαϊκῶν. γ'.) Περιηγήσεων Εὐρώπης βιβλία δέκα, ἐκ τῶν τοῦ Ἑκαταίου τοῦ Μιλησίου τριάκοντα καὶ δύω τῶν Εὐρώπης Περιηγήσεων. δ'.) Αἰγυπτιακῶν βίβλοι δέκα, ἐκ τῶν τοῦ Ἑκαταίου τοῦ Μιλησίου εἴκοσι καὶ ὀκτὼ τῶν Αἰγυπτιακῶν. έ.) Λιβυκῶν βίβλοι δύω, ἐκ τῶν Ἑκαταίου τοῦ Μιλησίου ἐννέα τῶν Λιβυκῶν. ϛ') Ἑλλησπόντου βίβλοι ἓξ, ἐκ τῶν τοῦ Ἑκαταίου τοῦ Μιλησίου ἑπτὰ τοῦ Ἑλλησπόντου. ζ'.) Γενεαλογιῶν βίβλοι δέκα, ἐκ τῶν τοῦ Ἑκαταίου τοῦ Μιλησίου ἑκκαίδεκα τῶν Γενεαλογιῶν. ή.) Αἰολικῶν βίβλοι πέντε, ἐκ τῶν τοῦ Ἑκαταίου τοῦ Μιλησίου ἑπτὰ τῶν Αἰολικῶν. θ'.) Περσικῶν βίβλοι πέντε, ἐκ τῶν τοῦ Ἑκαταίου τοῦ Μιλησίου τριῶν καίδεκα τῶν Περσικῶν, καὶ τόσα εἰσὶ τὰ μέρη εἰς ἃ διαιρεῖται ἡ πολύτιμος αὕτη συγγραφή· τὸ δὲ μέγεθος τῆς σελίδος ἐστὶν εἰς τέταρτον καὶ φέρει στίχους ἑκάστη τούτων 102.

ὁ Μάγνης ἐν τῷ περὶ Ὁμωνύμων συγγράμματι [22]· γ) Ῥωμαίων ἀποτρόπαια Κασσάνδρου τοῦ Ῥοδίου [23]. δ) Αἱ χθονὲς ἐκρήξεις Στεφάνου τοῦ Λερίου. ἐκ τῶν τοῦ Δημητρίου Καλλατιανοῦ [24]. ε) Θρασυκλέους Ῥοδίου αἱ ἑκκαίδεκα τῶν γενεαλογιῶν βίβλοι [25]. Παρθικὰ Ἀρίωνος Κασσάνδρου τοῦ Πατρέως [26]. ζ) Σαγχωνιάθωνος Ἱεροφάντου Βηρυτοῦ παλαιτάτη Φοινικικὴ Ἱστορία ἥν περ εἰς τὴν Ἑλλάδα μετήνεγκε γλῶσσαν Φίλων ὁ Βίβλιος. Ταύτην δὲ Ἀντίδαμος ὁ Ἀλεξανδρεὺς εἰς τεσσαράκοντα συνῆψε βίβλους, ἀριθμὸν ἥμισυ Φίλωνος [27]· η) Παυσανίου Σαμίου Ὅροι Σαμίων ἐν ἐπιτομῇ, καθ' ἃ Δοῦρις ἐν τῇ βίβλῳ τῶν Ὅρων [28]· θ) Ἀνακεφαλαίωσις εἰς τὴν τοῦ Δούριδος

(22) Τοῦτο δὲ βιογραφεῖ τοὺς ἐν τῇ Ἑλλάδι ποτὲ ἀκμάσαντας ὁμωνύμους ποιητὰς, συγγραφεῖς, στρατηγοὺς, τεχνίτας, ἀγωνοθέτας κτλ. ἐκ τῶν μυθικῶν χρόνων ἀρχόμενον, καὶ λῆγον ἐν τῷ τετάρτῳ μ. Χ. αἰῶνι. Τὸ χειρόγραφον τοῦτο ἐκ 405 σελίδων συγκείμενον, διαιρεῖται εἰς βιβλία 25 καὶ κεφάλαια 233 συνετάχθη δὲ τῷ ε,ωνδ'. (344 μ. Χ.).

(23) Τοῦτο εἰς τὰς τῶν Ῥωμαίων κατὰ τῶν Ἑλλήνων καταπιέσεις, καταστροφὰς, φόνους, καὶ τὰ τούτων ὅμοια περιστρέφεται, ἀφ' ἧς ἡμέρας ἡ Ἑλλὰς ἐγένετο Ῥωμαϊκὴ ἐπαρχία· σύγκειται δὲ ἐκ σελ. 150, βιβλίων 5, καὶ κεφ. 99, ἑκάστη δὲ σελὶς φέρει στίχους 80. Ὁ καιρὸς τῆς γραφῆς ἄγνωστος.

(24) Τοῦτο περιστρέφεται εἰς τὰς διαφόρους κατὰ καιρὸν γενομένας ἡφαιστίους ἐκρήξεις, σεισμοὺς, καταποντισμοὺς καὶ τὰ ὅμοια, ἐρανισθέντα τὰ πάντα ἐκ παλαιοτέρων πηγῶν· σύγκειται δὲ ἐκ σελ. 209 διαιρουμένων εἰς βιβλία δέκα καὶ ταῦτα εἰς κεφάλαια 89, ὁ καιρὸς τῆς γραφῆς ἄγνωστος.

(25) Ἐν τούτῳ ὁ Θρασυκλῆς γενεαλογεῖ ἱστορικῶς τοὺς Πελασγοὺς, Θρᾷκας, Ἄραβας καὶ Ἰνδούς· διαιρεῖ δὲ τὴν συγγραφὴν αὐτοῦ εἰς Πελασγικὰ, Θρᾳκικὰ, Ἀραβικὰ, Ἰνδικὰ, καὶ ταῦτα εἰς βιβλία 40· ταῦτα δὲ πάλιν εἰς κεφάλαια 235· τὸ δ' ὅλον σύγκειται ἐκ σελίδων 470· καὶ ἑκάστη αὐτῶν φέρει στίχους 72· χρονολογεῖται δὲ, ὅτι ἐγράφη τῷ ε,ψκα'. (213 μ. Χ.).

(26) Τοῦτο γραφὲν τῷ 5,658. (450), διαιρεῖται εἰς βιβλία ἕξ, κεφάλαια 47, καὶ σύγκειται ἐκ σελίδων 233, ἑκάστη δὲ σελὶς φέρει στίχους 53. Τὸ δὲ ἐμπεριεχόμενον ἐστὶν ἡ Ἱστορία τῶν Πάρθων ἐν ἐκτάσει, πέντε αἰώνων περίπου, καὶ ἄρχεται ἀπὸ τῷ ε,σογ'. (225 π. Χ.)

(27) Τὸ χειρόγραφον τοῦτο, πολλοῦ λόγου ἄξιον ὄν, διαιρεῖται εἰς τεσσαράκοντα βιβλία καὶ 698 κεφάλαια, ἔχει δὲ σελίδας δισχιλίας τετάρτου μεγέθους, καὶ ἑκάστη τῶν σελ. 112 στίχους. Περιέχει δὲ τὴν Κοσμογονίαν καὶ Θεογονίαν τῶν Φοινίκων, ὡς καὶ τὴν Ἱστορίαν τῆς Φοινίκης λεπτομερῶς. Ὁ καιρὸς τῆς γραφῆς ἄγνωστος.

(28) Τοῦτο τὰς ὁροθετικὰς, ἀμφισβητήσεις τῶν Πριηνέων καὶ Σαμίων διαγράφει.

τοῦ Σαμίου Ἱστορίαν τῶν Ἑλληνικῶν τῇ τῶν Σαμίων αἰτήσει [29]· ι) Ἴσθμια καὶ Ὀλύμπια Παυσανίου Σαμίου ἐκ τῶν τοῦ Δούριδος Ἀγώνων [30]· ια) Ἐπιτομὴ εἰς τὴν τοῦ Ἀρριανοῦ συγγραφὴν [illegible] Σαμίου [31]· ιβ) [illegible] Μεγαρέως Μεγαρικῆς Ἱστορίας βιβλία δύο [32]· ιγ) Λαῶν ἀριθμὸς Εἰρηναίου τοῦ Πατμίου [33]· ιδ) Ναυαγίων ἀριθμὸς Εἰρηναίου τοῦ Πατμίου [34] ιε) Ὧροι Κωνσταντίνου τοῦ Σαμίου [35]· ις) Τάδε

διαιρεῖται δὲ εἰς βιβλία τρία, κεφ. 39 τὸ ὅλον ἐκ σελίδων 97 συνίσταται· ἑκάστη δὲ σελὶς φέρει στίχους 79. ἐγράφη τῷ 5819 (311 μ. Χ.).

(29) Τοῦτο δὲ ἔχει πατέρα τὸν αὐτὸν Παυσανίαν τὸν Σάμιον, τὸν καὶ τοὺς Ὅρους γράψαντα, ὡς ἐν τῷ τέλει ὁ αὐτὸς μαρτυρεῖ λέγων «Παυσανίας ὁ Σάμιος γέγραφεν ἐν Παρθενόπῃ Πολίχνῃ Σάμου τῷ ,εωκε'. (317 μ. Χ.). διαιρεῖται δὲ εἰς μέρη ἕξ, Μακεδονικὰ, Λακεδαιμονικὰ, Περσικὰ, Λυδικὰ, Παρθικὰ, καὶ Σικελικὰ, καὶ εἰς βιβλία 6 ἕκαστον μέρος, κεφ. 107 καὶ περιέχει σελίδας 792. ἑκάστη δὲ τῶν σελ. φέρει στίχ. 59· σώζει δὲ Ἱστορίαν 93 ἐτῶν, ἀρχομένην ἀπὸ τῷ ,ερλς'. (372 π. Χ.).

(30) Τοῦτο τοὺς ἀγωνισθέντας καὶ στεφανωθέντας ἐν ταῖς ἑορταῖς τῶν Ἰσθμίων καὶ Ὀλυμπίων, ἀφ' ἧς ἡμέρας αὗται ἐθεσπίσθησαν περιγράφει, καὶ διαιρεῖται εἰς βιβλία 2, κεφ. 92· ἔχει δὲ σελ. 170. πότε δὲ ἐγράφη ἄγνωστον.

(31) Τοῦτο δὲ Ἐπιτομὴ οὖσα τῶν τοῦ Ἀρριανοῦ συγγραμμάτων, διαιρεῖται εἰς Ἀλεξάνδρου Ἀνάβασιν, Παρθικὰ, Βιθυνικὰ, καὶ Ἀλανικά· καὶ ταῦτα ὑποδιαιροῦνται εἰς 112 κεφ. τὸ ὅλον συνίσταται ἐκ σελ. 833 ἔχει δὲ στίχ. 77 ἐγράφη δὲ τῷ ,εχμα'. (133 μ. Χ.).

(32) Τοῦτο τὰ διατρέξαντα ἐν τῇ Μεγαρικῇ γῇ διακοσίων καὶ ἐννήκοντα χρόνων ἱστορεῖ· ἄρχεται δὲ τὴν ἱστορίαν ἀπὸ τῷ ευιη'. (90 π. Χ.) διαιρεῖται δὲ εἰς βιβλία 4, κεφάλαια 39 καὶ περιέχει σελίδας 230· ἐγράφη δὲ τῷ ,εψη'. (182 μ. Χ.)

(33) Τοῦτο δὲ ἀριθμεῖ τοὺς λαοὺς τῆς Εὐρώπης καὶ Ἀσίας κατ' ἐποχὴν, ἀπὸ Περικλέους ἀρχόμενον, καὶ λῆγον ἐν τῷ γ'. μ. Χ. αἰῶνι· διαιρεῖται δὲ εἰς βιβλία 7 καὶ ταῦτα εἰς κεφάλαια 22, περιέχει δὲ σελ. 92, ἔχει δ' ἑκάστη στίχ. 79· ἐγράφη δὲ τῷ ,εωιε'. (τῷ 307 μ. Χ.).

(34) Τοῦτο δὲ ἀριθμεῖ τὰ ὅσα ναυάγια συνέβησαν ἐν τῇ Ἑλληνικῇ θαλάσσῃ εἰς διάστημα 16 ἐτῶν, ἄρχεται δὲ τὸν κατάλογον τῶν ναυαγίων ἀπὸ τῆς γεννήσεως Θεοδοσίου τοῦ μικροῦ. Τοῦτο περιέχει σελίδας 89 εἰς 4ον, διαιρεῖται εἰς βιβλία 16 καὶ κεφάλαια 39· χρονολογεῖται δὲ ὅτι ἐγράφη τῷ ,εωκβ'. (314 μ. Χ).

(35) Τοῦτο σώζει, ὅσα συνέβησαν ἐν τῇ Ἀσίᾳ, Ἀφρικῇ, Αἰγύπτῳ, καὶ Εὐρώπῃ ἐν τῷ διαστήματι χιλίων ἐτῶν καὶ ἄρχεται ἀπὸ τοῦ ι'. π. Χ. Αἰῶνος. τὰ πλεῖστα ἐδ παρέλαβεν ἐκ τῶν τοῦ Δούριδος Ὡρων, ὡς ὁ αὐτὸς συγγραφεὺς λέγει, Δούριδος Ὧροι, ἐμοῦ συμπολίτου, ἐδίδαξαν. διαιρεῖται δὲ εἰς βιβλία 9 κεφ. 23 καὶ συνίσταται ἐκ σελ. 277 καὶ ἑκάστη τούτων φέρει στίχους 78· ἐγράφη δὲ τῷ ,ςχε'. (517 μ. Χ.).

ἐστι Γεωγραφικὰ Μεθοδίου τοῦ Κασίου κατὰ Δημόκριτον τὸν Ἀβδηρίτην (36)· *ιζ) Δαμάστου τοῦ Μασσαλιώτου Ῥωμαϊκῆς Βιβλιοθήκης βιβλία ἑπτακαίδεκα* (37)· *ιη) Ἐπιτομὴ Ἱστοριῶν Ἐφόρου τοῦ Κυμαίου ὁ ἐπιτομεὺς Λέανδρος Θεοκτίστου ὁ Λαρισσαῖος* (38)· *ιθ) Ἐπιτομὴ τῆς Ἐρατοσθένους τοῦ Κυρηναίου Γεωγραφικῆς συντάξεως ἣν Δημήτριος ὁ Ζαχαρίου, ὁ ἐκ Λήμνου τῆς νήσου γέγραφε* (39)· *κ) Δημοκλέους Θεοφάνους τοῦ Ἀλεξανδρέως σύνταγμα Λυδιακῶν, Καριακῶν καὶ Λυκιακῶν ἐπιγραφῶν ἐκ τῶν τοῦ Πολέμωνος, τοῦ καὶ Στηλοκόπα κληθέντος, Καριακῶν, Λυδιακῶν καὶ Λυκιακῶν* (40). *κα) Λαοστέφου τοῦ Συμαίου Ποικίλη Ἱστορία* (41)· *κϐ)* **Τὰ Χαλδαίων** Λαο-

(36) Τὸ χειρόγραφον τοῦτο εἰς τρία βιβλία διαιρούμενον, καὶ ταῦτα εἰς κεφάλαια 22 ὑποδιαιρούμενα, καὶ ἐκ σελ. 87 συγκείμενον, ἑκάστης δὲ τούτων ἐκ στίχων 87 τὴν Αἴγυπτον μόνην γεωγραφεῖ· ἐγράφη δὲ τῷ ͵εωή. (300 μ. Χ.).

(37) Τὸ τοῦ Δαμάστου τοῦτο διαιρούμενον εἰς βιβλία 17 καὶ εἰς κεφ. 137 ὑποδιαιρούμενον καὶ τῷ ͵εωοά. (363 μ. Χ.) γραφὲν, τὴν Ῥωμαϊκὴν ἱστορίαν διαγράφει ἀπὸ Ῥωμύλου μέχρι κτίσεως Κωνσταντινουπόλεως.

(38) Τοῦτο τὴν Ἱστορίαν τῶν ἀρχαίων ἐθνῶν διατρέχει Ἑλλήνων τε καὶ βαρβάρων· διαιρεῖται δὲ εἰς βιβλία 11 καὶ ταῦτα πάλιν ὑποδιαιροῦνται εἰς κεφάλαια 80. Τὸ δὲ ὅλον συνίσταται ἐκ σελίδων 379 καὶ ἑκάστη τούτων φέρει στίχους 98. Χρονολογεῖται δὲ ὅτι ἐγράφη τῷ ͵εψί. (202 μ. Χ.).

(39) Τὸ χειρόγραφον τοῦτο εἰς 7 βιβλία διαιρούμενον καὶ εἰς 80 κεφάλαια ὑποδιαιρούμενον, τὸν τότε σύμπαντα γνωστὸν κόσμον γεωγραφεῖ κατ' ἀπόστασιν ἑκάστης πόλεως καὶ περιφέρειαν· συνίσταται δὲ ἐκ σελίδων 338, ἑκάστη δὲ τούτων φέρει στίχους 78· ἡ χρονολογία ἄγνωστος.

(40) Τοῦτο ἐπιγραφῶν γέμον τῶν τριῶν ἄνω ἀναφερομένων ἐπαρχιῶν, καὶ Ἱστορικῶν παρεκβολῶν εἰς ὀκτὼ βιβλία διαιρεῖται καὶ ταῦτα εἰς κεφ. 67. Τὸ δ' ὅλον σύγκειται ἐξ ἑκατὸν καὶ ἐννενήκοντα σελίδων, ἑκάστη δὲ σελὶς ἐξ ἑβδομήκοντα στίχων· χρονολογεῖται δὲ τῷ ͵εωιέ. (307 μ. Χ.).

(41) Τοῦτο δὲ πραγματεύεται τὴν Ἱστορίαν τῶν ἀρχαίων ἐθνῶν τὰ ἤθη καὶ τοὺς νόμους ἑκάστου αὐτῶν τὰς θρησκευτικὰς τελετὰς καὶ τέλος διαλαμβάνει καὶ περὶ τῶν ἀρχαιοτήτων τῶν σωζωμένων ἐπὶ ἡμερῶν τοῦ συγγραφέως, φυλάττοντος εἰς πάντα μεγάλην λεπτομέρειαν, ἰδίως δὲ εἰς τὰς Ἰνδικὰς, Ἀσιατικὰς, καὶ Αἰγυπτιακὰς πόλεις· σὺν τούτοις δὲ περιγράφει καὶ 80 ναοὺς σωζομένους τοὺς μὲν ἐν τῇ Ἰνδικῇ, τοὺς δὲ ἐν τῇ Ἀσιατικῇ, Αἰγυπτιακῇ καὶ Ἑλληνικῇ γῇ, ἐξ ὧν εἷς ἐστὶ καὶ ὁ τοῦ Ὁμήρου, ὁ δημοσιευθεὶς ἐν τῷ Αἰῶνι Ἀμαλθείᾳ καὶ Συμαΐδι ἴδε σελ. ιζ'. ἐν δὲ τῷ τέλει γέμει ἱερογλυφικῶν γραμμάτων, ἐξηγουμένων δι' ἑλληνικῶν. Τὸ χειρόγραφον τοῦτο ἐξ ἑπτακοσίων καὶ ἑβδομηκονταεπτὰ σελ. συγκείμενον διαιρεῖται εἰς βιβλία 45, καὶ ταῦτα εἰς κεφάλαια 497, ἡ δὲ σελὶς αὐτοῦ φέρει στίχους 79 ἑκάστη. Ἐγράφη δὲ τῷ 5968 (460 μ. Χ.).

στέφου τοῦ Συμαίου ἐκ τῶν Βηρωσσοῦ καὶ Ἀβυδηνοῦ, τῶν τὰ Χαλδαίων γραψάντων (42)· *κγ) Ἐπιτομὴ Ἱστοριῶν τῆς τοῦ Ποσειδωνίου Ἱστορικῆς συγγραφῆς, ἧς ὁ πατὴρ Ἀλέξανδρος ὁ Καλυμνιάτης* (43)· *κδ) Κλεάνδρου τοῦ Λακεδαιμονίου Χρονικὰ ὑπομνήματα* (44)· *κε) Πελασγῶν Ἱστορία Ξάνθου τοῦ Συμαίου* (45)· *κϛ') Κλεόμβροτος ὁ ἐξ Ἰθάκης τάδε τὰ Ἱστορικὰ γέγραφεν* (46)· *κζ) Φόρβαντος Κερκυραίου Ὁλικῆς Ἱστορίας δυοκαίδεκα*

(42) Τὸ χειρόγραφον τοῦτο μεταγλωττισθὲν εἰς τὴν Ἑλληνικὴν ὑπὸ τοῦ Λαοστέφου, σώζει ἅπασαν τὴν Ἱστορίαν τῶν Χαλδαίων τὰς τελετὰς καὶ θρησκευτικοὺς νόμους αὐτῶν· διαιρεῖται δὲ εἰς βιβλία 23 καὶ ταῦτα εἰς κεφ. 289. Τὸ ὅλον σύγκειται ἐξ 623 σελ. ἔχει δ' ἑκάστη ἐξ αὐτῶν στίχους 88. Ἐν δὲ τῷ τέλει ἔχει ἐπιτομὴν πεντάβιβλον ἐκ τῆς Ἀλεξάνδρου Πολυΐστορος τοῦ Κοτυαέως Χαλδαϊκῆς Ἱστορίας, σύγκειται δὲ αὕτη ἐκ σελ. 222 ὁμοίων κατὰ πάντα οὐσῶν ταῖς προειρημέναις, ἐγράφη δὲ τῷ 5960 (452 μ. Χ.).

(43) Τοῦτο τὴν Ἱστορίαν τῆς Αἰγύπτου, Ἰνδιῶν, καὶ Ἑλλάδος συνοπτικῶς ἐμπεριέχει· διαιρεῖται δὲ εἰς βιβλία 7 καὶ ταῦτα εἰς κεφάλαια 70. Τὸ ὅλον ἐκ σελίδων 223· καὶ ἑκάστη τῶν σελιδων ἐκ τριάκοντα στίχων. χρονολογεῖται δὲ τῷ 5907 (399 μ. Χ.).

(44) Τοῦτο δὲ, τὰ ὅσα ἐν τῷ καιρῷ τοῦ Συγγραφέως συνέβησαν, ἐν τῇ Ἑλλάδι, καὶ διαιρεῖται εἰς βιβλία 7, κεφάλαια 28, σύγκειται δὲ ἐκ σελ. 209 τὸ ὅλον καὶ ἑκάστη σελὶς φέρει στίχους 39, Ἐγράφη τῷ ͵εψιή. (210 μ. Χ.).

(45) Τὸ χειρόγραφον τοῦτο σώζει τὴν παλαιοτάτην τοῦ πεπαλαιωμένου καὶ παρὰ τῶν νεωτέρων μυθολογουμένου Πελασγικοῦ ἔθνους Ἱστορίαν, τὰ ἤθη αὐτοῦ, τὴν Πελασγικὴν Κοσμογονίαν καὶ Θεογονίαν, διαφόρων πάντη οὐσῶν τῶν λοιπῶν παλαιῶν κοσμογονιῶν καὶ θεογονιῶν· εἰσὶ δὲ διὰ Πελασγικῶν γραμμάτων γεγραμμένα πάντα, καὶ ταῦτα ἐξηγοῦνται δι' Ἑλληνικῶν ὑπὸ τοῦ συγγραφέως Ξάνθου. Εὗρε δὲ αὐτὴν ἐν τῷ ναῷ τῆς Θεᾶς Ἱστορίας τῷ ἐν τῇ Αἴγλῃ, πόλει τῆς νήσου Σύμης, κεχαραγμένην κύκλῳ ἐπὶ πλακῶν μολυβδίνων ὡς ὁ ἴδιος ὁμολογεῖ. Ἐν δὲ τῷ τέλει σώζει τοὺς νόμους τῶν Αἰγλέων τοὺς ὑπὸ Ξάνθου πρώτου οἰκίτορος τῆς Αἴγλης, τοῦ καὶ Θεοποιηθέντος ὕστερον ὑπὸ τῶν κατοίκων. εἰσὶ δὲ καὶ οὗτοι διὰ Πελασγικῶν καὶ Ἑλληνικῶν γραμμάτων. Τὸ δὲ ὅλον τῆς συγγραφῆς τοῦ Ξάνθου σύγκειται ἐκ σελίδων 739, διαιρουμένης εἰς βιβλία 47 καὶ κεφάλαια 398. Ἐγράφη δὲ καὶ τοῦτο τῷ 5960 (452 μ. Χ.).

(46) Τοῦτο περιστρέφεται εἰς μόνην τὴν Ἑπτανησιακὴν Ἱστορίαν, ἄρχεται δὲ ἀπὸ τῶν μυθικῶν χρόνων καὶ λήγει μέχρι τοῦ ϐ'. μ. Χ. Αἰῶνος. Τὸ χειρόγραφον διαιρεῖται εἰς βιβλία 12, κεφ. 299 καὶ ἔχει σελ. 450 καὶ ἡ σελ. στίχους 76. Ἐγράφη τῷ ͵εψ'. (192 μ. Χ.).

(47) κη)· *Χάρμου Ἀθηναίου Γεωγραφικὰ βιβλία πέντε* (48)· *κθ) Σύνοψις τῆς τοῦ Πολυβίου Ἱστορίας* (49). *Ἑλλαδίου Ταφιουσσαίου Ἑλληνικὰ τὰ μετὰ τῶν Τρωϊκῶν* (50)· *Ἑλλαδίου Ταφιουσσαίου περὶ νομισμάτων* (51)· *Μαραθών, Θερμοπύλαι, Πλαταιαὶ Δωροκλέους Κνιδίου* (52). Ἴσως δὲ καὶ ἄλλων πολλῶν ὧν τὰ συγγράμματα μὴ δυνάμενος διελθεῖν διὰ τὸ βραχὺ τοῦ καιροῦ παραλείπω ἀγνώστων πάντη, ἀλλ᾽ εὐτυχῶς περισωθέντων καὶ διαφυγόντων ὡς ἐκ θαύματος τὸν φθοροποιὸν ὀφθαλ-

(47) Ἐν τούτῳ ὁ συγγραφεὺς συνοπτικῶς περιγράφει τὴν ὅλην τοῦ κόσμου Ἱστορίαν ἐν τοῖς πέντε πρώτοις βιβλίοις· ἐν δὲ τοῖς λοιποῖς ἑπτὰ τὴν κατ᾽ ἔκτασιν Ἱστορίαν τῆς ἑαυτοῦ πατρίδος Κερκύρας ἐξ αἰώνων· ἀρχόμενος ἀπὸ τὸν δ'. π. Χ. αἰῶνα· φέρει δὲ σελ. 397, καὶ διαιρεῖται εἰς κεφάλαια 123. Χρονολογεῖται ἡ γραφὴ τῷ ͵ερμζ (339 μ. Χ.).

(48) Ἐν τούτῳ ὁ γεωγράφος γεωγραφεῖ τὴν γῆν ἡμῶν παραπλησίως τῷ Στράβωνι· διαιρεῖται δὲ εἰς βιβλία 12, κεφ. 197 καὶ τὸ ὅλον σύγκειται ἐκ σελ. 490 ἑκάστη δὲ σελ. ἔχει στίχους 49. Ὁ καιρὸς τῆς γραφῆς ἄγνωστος.

(49) Τὸ χειρόγραφον τοῦτο συγκείμενον ἐκ βιβλίων 25, διαιρουμένων εἰς κεφάλαια 302, τὴν ἅπασαν τοῦ Πολυβίου γνωστὴν Ἱστορίαν περιλαμβάνει ἐν σελίσι 478 τὴν ἀπολεσθεῖσαν τε καὶ μή, ὁ τομεὺς δὲ τῆς Ἱστορίας τοῦ Πολυβίου ἐστι Πανάρετος ὁ Ἀρκάς. Ἡ χρονολογία ἄγνωστος. Ἑκάστη σελὶς τοῦ χειρογράφου τούτου φέρει στίχους 78.

(50) Τὸ τοῦ Ἑλλαδίου χειρόγραφον ἐξ 889 σελ. συγκείμενον, βιβλίων δὲ 223 διαιρουμένων εἰς κεφάλαια 410 τὰ μετὰ τὴν Τρωάδα συμβάντα ἐν ἁπάσῃ τῇ Ἑλληνικῇ γῇ μέχρι τοῦ β'. μ. Χ. αἰῶνος, ὅτε καὶ πιθανὸν ὁ συγγραφεὺς ἤκμαζε, Ἱστορικῶς σώζει κατ᾽ ἔκτασιν μετὰ κρίσεως μεγάλης, ἐξ ἀρχαίων πηγῶν τὰ πάντα παραλαβών· ὁ δὲ χρόνος, καθ᾽ ὃν ἐγράφη ἄγνωστος ἔχει δὲ ἑκάστη σελὶς τούτου στίχους 67.

(51) Ἐν τούτῳ ὁ Ἑλλάδιος μνείαν ποιεῖται περὶ τῶν διαφόρων νομισμάτων τῶν ἀρχαίων ἐθνῶν, ἀφ᾽ ἧς ταῦτα καὶ ἐπενοήθησαν ἐποχῆς, ἰχνογραφῶν τὰ πλεῖστα διὰ βαφῆς κατ᾽ ἐμὲ ἀγνώστου, ἴσως χρυσοφαίου, διότι καὶ τοιαύτην ἔχει τὴν θεωρίαν· ἐν δὲ τῷ τέλει λόγον ποιεῖται περὶ πολλῶν ἀγαλμάτων σωζωμένων ἐπὶ τῶν ἡμερῶν αὐτοῦ καὶ τῶν γλυψάντων αὐτά. Σύγκειται δὲ ἐκ 300 σελίδων ἐχούσης ἑκάστης στίχ. 57 διαιρουμένων εἰς βιβλία 80 καὶ ταῦτα εἰς κεφάλαια 167. Ἄγνωστος καὶ τούτου ὁ καιρὸς τῆς γραφῆς.

(52) Ἐν τούτῳ τὰς γνωστὰς ἐνδόξους νίκας λεπτομερῶς, τὰς κατὰ Περσῶν, περιγράφει εἰς Ἰωνικὴν γλῶσσαν παραπλησίως τῷ Ἡροδότῳ· σύγκειται δὲ ἐκ σελίδων 259 διαιρουμένων εἰς βιβλία 29 καὶ ταῦτα εἰς κεφάλαια 102. Πότε δὲ ἐγράφη ἄγνωστον. Καὶ ταῦτα Σιμωνίδης ἔχει πάντα.

μὸν τοῦ πανδαμάτορος χρόνου, τοῦ τὰ πάντα ἀφανίζοντος καὶ φθείροντος.

Ταῦτα ἐν συνόψει, φίλτατοι, περὶ τῆς συγγραφῆς τῶν τοῦ Εὐλύρου Ἐθνικῶν καὶ τῶν δημοσιευομένων ἤδη ἀποσπασμάτων ἐξ αὐτῆς. Ἐγὼ δὲ ἐνασχολούμενος, ὡς προεῖπον, εἰς τακτικὴν ἀντιγραφὴν ἁπάσης, εὔελπις εἰμί, ὅτι τεύξομαι τῆς προσηκούσης συνδρομῆς ἐκ μέρους ἁπάντων τε τῶν εὖ φρονούντων ὁμογενῶν, ἰδίως δὲ τῶν Κεφαλλήνων, πρὸς ἔκδοσιν τοῦ πολυτίμου τούτου συγγράμματος τοῦ Κεφαλλῆνος Εὐλύρου, καὶ ἄλλων ἀγνώστων μέχρι τοῦδε καὶ ἀνεκδότων, ὧν εἰμὶ κάτοχος· τὰ ἀποσπάσματα ταῦτα ἔσεται προσέτι καὶ ἀπάντησις πρὸς τὰ κατ᾽ ἐμοῦ καὶ τῶν εἰς χεῖράς μου ἀρχαίων χειρογράφων γραφέντα ἀνωνύμως ὑπό τινων, οἵτινες κακίᾳ καὶ αἰσχρᾷ ἰδιοτελείᾳ κινούμενοι, προέθεντο ἵνα παραπείσωσι διὰ ξηρῶν φωνασκιῶν τοὺς ὁμογενεῖς, ἄῤῥητα ῥήματα κατ᾽ ἐμοῦ καταφλυαροῦντες, ἐπὶ κούφοις σοφίσμασι στηριζόμενοι.

Τί δὲ εἴπω πρὸς τούτους τοὺς πολλὰ πολλαχῶς, καὶ πολλάκις κατ᾽ ἐμοῦ ληρίσαντας; τί εἴπω καὶ τὶ μὴ εἴπω πρὸς τούτους τοὺς παρὰ πᾶσιν θαυμαζομένους διὰ τὴν ὑπὲρ λίπους παχυτάτην ἐς τὰ μάλιστα ἄνοιαν τε καὶ τὴν εὐήθειαν τὴν μεγάλην; καίτοι γε ἑαυτοὺς αὐτοὶ οὗτοι, τοῦ τύφου ὀγκούμενοι, σοφοὺς ἀναιδῶς καλοῦσι καὶ τοῦ Πλάτωνος Πλατωνικώτεροι δείκνυνται καὶ τῶν πάντων ἀνώτεροι, καὶ τοῦ Θεοῦ σοφώτεροι !!! Οὐδὲν εἴπω· τὰ πράγματα εἴπωσιν ὑπὲρ ἐμοῦ ἐν καιρῷ τὸ δέοντι· δείξω γὰρ ὅσονούπω τεκμήρια μεγάλα ὑπερασπίσεως τῷ κοινῷ, καὶ ἀσβόλῃ χρίσει ὁ νοήμων τῆς Ἑλλάδος λαὸς τούτους, τοὺς τὴν ἀλήθειαν διαστρέφοντας. Πολλάκις εἶδον ἀνερχομένους τε καὶ κατερχομένους πολλοὺς τούτων ἀθρόως τὰς οἰκίας πολλῶν καὶ περιερχομένους, ἔργον ἔχοντας τὴν διαβολήν, καὶ λοιδοροῦντας ἤκουσα ὠσὶν ἰδίοις τῆς τῶν ἀγοραίων γλώττης χείρω, καὶ ὑπέμενον ὡς εἷς τῶν οὐδετέρων, α γενόμενος ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων καὶ οὐκ ἔχων ἐν

τῷ στόματι αὐτοῦ ἐλεγμούς, ψάλλων καὶ ταῦτα (ἂν καὶ τὰ λοιδορήματα πικρὰ ἦν τὸ παράπαν).

Ἔς', ἢ δύναται λοιδορούμενον φέρειν.
Ὁ λοιδορῶν γάρ, ἂν ὁ λοιδορούμενος
Μὴ προσποιῆται, λοιδορεῖται λοιδορῶν.

Τινὲς τούτων τῶν λογιωτατίσκων, τῶν κακίᾳ ἠλιθίων, ἰδόντες μόλις τὴν Σ υ μ α ΐ δ α δημοσιευομένην καὶ τῷ κλεινῷ Μουστοξύδῃ προσφωνουμένην πάντα λίθον ἐκίνησαν, καθ' ὃ ἔθος ἦν παρ' αὐτοῖς κατὰ παντὸς καλοῦ, ἵνα τὸν γηραιὸν τοῦτον ἄνδρα ψυχράνωσι κατ' ἐμοῦ μύρια γράφοντες, καὶ διὰ τῶν μωρῶν αὐτῶν ψευδολογιῶν πείσωσιν αὐτὸν ἀποποιηθῆναι τὴν προσφώνησιν, ἀλλ' ἐπὶ ματαίῳ ἐκοπίασαν! καὶ ἰδοὺ τί πρὸς ἡμᾶς ἔγραψεν ὁ σοφὸς ὄντως ἀνὴρ οὗτος.

Κερκύρα τῇ 27 Μαΐου 1849

Λ ο γ ι ώ τ α τ ε Κ ύ ρ ι ε !

« Λαβὼν τὴν ἐπιστολὴν ὑμῶν καὶ τὸ δῶρον, δι' οὗ μὲ ἐφι-
« λοφρονήσατε, ὁμολογῶ πολλὰς χάριτας ἀντὶ τῶν ἐπαίνων,
« δι' ὧν ἐκοσμήσατε τὸ ὄνομά μου, καίτοι ὑπερβαλλόντων
« τὸ δίκαιον μέτρον· Οὐδ' ἔχω πῶς κάλλιον ν' ἀνταποδώσω
» τὴν μαρτυρίαν ἧς μὲ ἠξιώσατε προτιμήσεως. . . . .

(τὰ λοιπὰ ἐν τῷ οἰκείῳ τόπῳ).

Ὁ ὑμέτερος

(ὑπογρ.). Α. ΜΟΥΣΤΟΞΥΔΗΣ.

Σημανθήσεται ὥρα, φίλτατοι, καὶ μεταμεληθήσονται (ὥς τινες ἤδη ἤρξαντο μεταμελεῖσθαι) οἱ λογιωτατίσκοι οὗτοι οἱ υἱοὶ τῆς ἀνομίας, καὶ ὁδηγήσωσιν ἑαυτοὺς πρὸς τὴν ἀγχόνην καθάπερ ὁ Ἰούδας ὁ τούτων γεννήτωρ. Ἔῤῥωσθε.

Ἀθήνησι 1849 μηνὶ Δεκεμβρίῳ.

Κ. ΣΙΜΩΝΙΔΗΣ.

ΚΕΦΑΛΛΗΝΙΑΚΑ

ΤΑ ΕΚ ΤΩΝ ΕΙΚΟΣΙ ΚΑΙ ΤΕΣΣΑΡΩΝ
ΤΩΝ
ΕΘΝΙΚΩΝ ΒΙΒΛΩΝ
ΤΟΥ ΚΕΦΑΛΛΗΝΟΣ ΕΥΑΓΡΟΥ
ΑΠΟΣΠΑΣΘΕΝΤΑ.

Ἐκ τῆς δεκάτης Βίβλου καὶ στοιχείου Κ.

ΚΕΦΑΛΛΗΝΙΑ, νῆσος Ἰονική, κατ' Ἀκαρνανίαν πρὸς Εὖρον ἄνεμον ἀνήκουσα· ὠνόμασται δὲ καὶ Σάμος, καὶ Τάφος, καὶ Δουλιχία, καὶ Τηλεβοῖς καὶ Σκορπία, ὡς παραπλησίου οὔσης τῷ τοῦ γνωστοῦ ὁμωνύμου ἐντόμου σχήματι, δύω πρὸς τοῖς δέκα σταδίους διέχουσα τοῦ Λευκάτα Ἀπόλλωνος ἀκρωτηρίου· τοῦ Χελωνάτα δὲ ἑβδομήκοντα πρὸς τοῖς ἑκατόν· τοῦ δὲ Ποσειδωνίου ἀκρωτηρίου Ζακύνθου δύω πρὸς τοῖς ἑξήκοντα. Ὁ δὲ τῆς νήσου περίπλους ἅπας οὐκ ἐλάττων τῶν δέκα καὶ ὀκτακοσίων σταδίων. Ἦν δὲ ἡ νῆσος ὀρεινὴ πάνυ· ἔχει γὰρ ἑκκαίδεκα κορυφὰς ὀνομαστάς· Ταλαύρινον, Κέφαλον, Σάμην, Ἐπίσυχνον, Ἀρκείσιον, Λαέρτιον, Χαλκομεδοῦσαν, Ἀντεικλείαν, Ἀλαλκομενάς, Πτερέλαον, Μήστορα, Προσέσπερον, Εὔαρχον, Βάκχιον, Ἄπενθα, Θαλύσια καὶ Αἶνον τὴν πανυπερτάτην, καὶ ἄλλας ταπεινὰς καὶ λόφους χθαμαλούς. Πολίχνια δὲ καὶ κωμοπόλεις ἐγγὺς ὀγδοήκοντα· τρία γὰρ ἐλλείπονται. Τὰ μὲν παράλια, τὰ δ' ὀρεινά· καὶ πόλεις ἓξ ἐπὶ τὴν σήμερον, περὶ ὧν εἰς τὰ καθ' ἕκαστα λεχθήσεται. Ἔστι δ' ἐν αὐτῇ καὶ πόλισμα ὁμώνυμον τῇ κορυφῇ Κεφάλου ἐγγύς· ὀκτὼ πρὸς τοῖς δέκα διεστῶσα σταδίους τῆς πόλεως Κρανῶν, ἀντίον Νότου καὶ ἀκρωτηρίου Σκηπτούχου κατάντηστιν, ἥνπερ ὁ Κέφαλος ὁ Δηϊόνος, βασιλέως Φωκίδος, καὶ Διομήδης τῆς Ξούθου ἔκτισεν, ὅτε τοὺς Τηλεβόας ἐνίκα Ἀμφιτρίονι συμμαχῶν τῷ Θηβαίων βασιλεῖ, ἀφ' οὗ καὶ ἡ

νῆσος. Ἔστι δὲ ἐν τῇ πόλει ἱερὰ Κεφάλου καὶ Βάκχου τῶν Κεφαλλήνων. Ὁ ἐξ αὐτῆς Κεφαλλὴν, ὡς Φόρβας καὶ Χάρμος φασίν. Εὕρηται δὲ καὶ Κεφαλεὺς παρ Ἑκαταίῳ.

Ἐκ τῆς πρώτης Βίβλου καὶ στοιχείου Α.

ΑἸΝΟΣ, ὄρος Κεφαλληνίας τὸ μέγα, ἐν ᾧ Αἶνος ὁ τῆς νήσου ἥρως τε καὶ εὐεργέτης τέθαπται, ἐξ οὗ καὶ τὸ ὄρος, καθ' ἃ Εὔδοξος Αἰσχύνου καὶ Δαμάρχης ὁ Κνίδιος ἐν τῇ ἕκτῃ τῶν *Περιόδων* μέμνηται. Ἔστι δὲ καὶ ἱερὸν Διὸς Αἰνησίου ἵδρυμα τῆς νήσου, ὡς Πολέμων ὁ Σάμιος ὁ τοῦ Πολέμαντος, καὶ Ἀρίστης ἐν τῇ δωδεκάτῃ τῶν *Περιηγήσεων*, καὶ Λαόστεφος ὁ Συμαῖος, *Ποικίλῃ Ἱστορίᾳ*·

ἌΚΑΝΘΟΣ, πόλισμα Κεφαλληνίας ἐρυμνὸν, εἴκοσι σταδίους μακρὰν τοῦ Κτεινοκερδάλου πολίσματος, δέκα δὲ τῶν Ἀλκιφρόνων ἀπωτέρω τοῦ ποταμοῦ Ἀλιτύπου πρὸς Ζέφυρον αὐτοῦ, κτίσμα Ἀκάνθου γυναικὸς Ἀλκίφρονος. Ἐθνικὸν δ' αὐτῆς Ἀκανθεὺς καὶ Ἀκάνθιος, ὡς Φόρβας.

ἈΛΙΘΡΕΜΜΟΝΙΟΝ, πόλισμα Κεφαλληνίας παράλιον, κτίσμα γυναικὸς Κράνου Θρεμμόνης ἀντίον Ἀπηλιώτου ἐπὶ τὸ Κράνιον ἄκρον τὸ ἐν τῷ λιμένι ὀκτὼ σταδίους τῆς ῥινὸς αὐτοῦ διειστήκει ἐπὶ τῶν κρασπέδων τοῦ Παλλαδίου λόφου ἀντίον τῆς Κρανίων πόλεως, καὶ ἑπτὰ πρὸς τοῖς δέκα ταύτης σταδίους μακράν. Ὠνόμασται δὲ οὕτως, ὡς τρεφομένων δῆθεν τῶν κατοίκων ἐκ τῶν ἰχθύων τὸν πλείονα καιρὸν τοῦ ἐνιαυτοῦ. Ὁ ταύτης κάτοικος Ἀλιθρεμμόνιος, ὡς Φόρβας.

ἈΛΙΘΡΕΜΜΟΝΙΣ, πόλις Κεφαλληνίας, ἀντίον Νότου, ἡ τανῦν Κράνοι παρὰ τῷ ὁμωνύμῳ αὐτῆς μυχῷ· ἀπὸ Ἀλιθρέμμονος Ἀράγμου καὶ Λαονίκης λαβοῦσα τὴν ἐπίκλησιν, ἣν Κράνος ὁ Κεφάλου ἐν τοῖς ὑστέροις καιροῖς δῃώσας καὶ κρατήσας ἀνέκτισεν, ὡς Ἑκαταῖός φησιν. Ἦν δὲ τὸ πάλαι καὶ χρηστήριον ἀψευδὲς Διὸς

Ἀλιθρέμμονος, ὅπερ Ἀλιθρέμμων ἐτεχνεύσατο. Τὸ ἐθνικὸν Ἀλιθρεμμονεὺς, καθ' ἃ Ἑκαταῖος.

ἌΛΚΙΦΡΑ, οὐδετέρως, χώρα Κεφαλληνίας καὶ πολίχνη ὁμώνυμος· ἀπὸ Ἀλκίφρονος Γλαύκοπος καὶ Παλλαντόρης παρὰ τῷ ποταμῷ Ἀλιτύπῳ· δύω πρὸς τοῖς εἴκοσι διεστῶτα τῆς πόλεως Σάμης κατὰ νώτων αὐτῆς καὶ Νότου ἀντίον, δέκα δὲ τῆς κατάντηστιν Ἀκάνθου πολίχνης. Ἔστι δὲ καὶ ἡρῷον Ἀλκίφρονος, ἐν ᾧ πεδίῳ μαχόμενος τέθνηκεν, ὡς Ἑκαταῖος, Πολέμων καὶ Λαόστεφός φασι. Τὸ ἐθνικὸν ὁμωνυμεῖ τῷ ἥρωϊ.

ἉΛΙΤΥΠΟΣ, ποταμὸς Κεφαλληνίας, τὰς χώρας Ἀκάνθου καὶ Ἀλκιφρόνων δίχα διείργων, καὶ τὰ κράσπεδα αὐτῶν διατρέχων ἐν καιρῷ χειμῶνος. Ἐκλήθη δὲ Ἀλίτυπος, ὡς ἐκ τῆς θαλάσσης τυπτόμενος ἀνέμου βιαίου ἐπιφυσοῦντος, ὡς Ἑκαταῖος.

ἈΝΤΙΚΛΕΙΟΝ, ὄρος Κεφαλληνίας πρὸς Ζέφυρον τῆς Πάλλης πόλεως. διειστήκει δ' αὐτῆς ἓξ πρὸς τοῖς εἴκοσι σταδίους, τῆς δὲ θαλάσσης Ἀγλαΐας, καλουμένης, τῆς ἀντίον Ζεφύρου πέντε πρὸς τοῖς δέκα. Κέκληται δ' ἀπὸ ἡρώου Ἀντικλείου Κνησιοτόκου καὶ ἥρωος Σάμης, ὃ ἡ γυνὴ αὐτοῦ Ἀνθολόχη ἵδρυσεν.

ἈΝΤΩΝΙΑ, πόλις Κεφαλληνίας, ἣν Γάϊος Ἀντώνιος ἔκτισεν, εὖτε τῆς ὑπατείας Ῥωμαίων ἀπεβλήθη· πρὸς τὴν τῶν Τηλεβόων ἀρχαίαν πόλιν, ἀντίον Εὔρου καὶ Χάριτος ἄκρου καὶ ὀκτὼ σταδίους διεστῶσα τούτου ἐπὶ τῶν ἑώων ἐρειπίων τῆς Τηλεβόων πόλεως. Τὸ ἐθνικὸν Ἀντωνεὺς, ὡς Φόρβας.

ἈΠΕΙΡΑΝΔΡΗ, παραλία Κεφαλληνίας ἡ ἀμφὶ τῷ ποταμῷ Ἀλιτύπῳ πρὸς Ἰθάκης πορθμὸν ἀντίον Ἀπαρκτίου· ἀπὸ Ἀπειράνδρης Ἑλλάδου καὶ Εὐδαιμόνης, ταφείσης ἐν τῇ δε τῇ χώρᾳ, ἐν ᾗ καὶ τέθνηκε. Δώρονδος ὁ Μερόπου καὶ Ζευξιχάρης ἀποκτείνει τὴν παρθένον, εὖτε ἰδὼν ἄφνω ἐν τῇ ὁδῷ ἠράσατο σφόδρα, πλησιάσας δ' αὐτὴν ἑάλω ζωγρίᾳ, καὶ ἄρας ἐπ' ὤμοις ἀφίκετο ἐν τῷ παρακειμένῳ λεχεποίῃ φθείρειν βουλόμενος· τῆς δὲ μὴ ἐνδιδούσης (ἐπὶ τοῖς αἰσχροῖς τοῦ ἥρωος θελήμασι δυσχεραινούσης τῇ πράξει), ῥόπτρου τυπτομένη τέθνηκεν. Ἔστι δὲ καὶ ἡρῷον Ἀπειράνδρης, ὃ

Δώρανδος ἤγειρε, μεταμεληθεὶς, ἐν ᾧ χώρῳ τέθνηκε, καὶ ἐπὶ κρηπῖδος τάδε, ἈΠΕΙΡΆΝΔΡΗ ἈΠΕΙ΄ΡΑΝΔΡΟΣ ΤΈΘΝΗΚΕΝ, ὡς Ἑκαταῖος καὶ Δημοκλῆς ὁ Ἀλεξανδρεὺς ἐν τοῖς *Συντάγμασιν*.

ἈΠΟΛΛΩ΄ΝΝΙΟΝ, ἀκρωτήριον Κεφαλληνίας τῆς νήσου κατ' Ἀργέστην ἀνῆκον, τὸ ἀντίον τοῦ Λευκάτα Ἀπόλλωνος ἀκρωτηρίου, ἐφ' ᾧ καὶ ϐωμὸς Ἀπόλλωνος, ἐξ οὗ καὶ τὸ ἀκρωτήριον ἵδρυμα Τηροδάμαντος Ῥοδίου. Ἔστι δὲ καὶ ὅρμος ὁμώνυμος καὶ πολίχνη εὕρηται παραλία, ὡς Στράϐων ἑκκαιδεκάτῃ τοῖς *Ἱστορικοῖς Ὑπομνήμασι*. Τὸ ἐθνικὸν Ἀπολλώνιος.

ἈΠΩ΄ΛΕΥΤΟΣ, ἀκτὴ Κεφαλληνίας ἐν τῷ πρὸς Ἰθάκης πορθμῷ, ἐν ᾗ κτείνας ἵππον ὁ Ἀρκείσιος, ἐξ Ἀκαρνανίας ἐλθόντα, εὖτε ἐπειρᾶτο δαμάσαι (ἦν γὰρ ἀπώλευτος μάλα), ἡ ἀκτὴ Ἀπώλευτος κέκληται, ἀπὸ τοῦδε, καθ' ἃ Ἑκαταῖος.

ἈΡΚΕΊΣΙΟΝ, πόλισμα Κεφαλληνίας ἐγγὺς τοῦ Ἀρκεισίου ὄρους παρὰ τῷ χειμάρρῳ Γηροτρόφῳ τρεῖς πρὸς τοῖς δέκα σταδίους τοῦ ἀκροτηρίου Ἀπωλεύτου μακρὰν, ὅπερ Ἀρκείσιος ὁ Κηλέως καὶ Ἄρκτου ἔκτισεν, ἐξ οὗ καὶ τῆς προσηγορίας ἔτυχε. Τὸ ἐθνικὸν Ἀρκεισεὺς, Χάρμος τε καὶ Φόρϐας.

ἈΡΚΕΊΣΙΟΣ, ὄρος Κεφαλληνίας, πρὸς τῷ ἐν Ἰθάκῃ πορθμῷ ἀντίον Καικίου πέντε πρὸς τοῖς δέκα σταδίους τοῦ ἀκρωτηρίου Ἀπωλεύτου διειστήκει. ἀπὸ Ἀρκεισίου Κηλέως καὶ Ἄρκτου ἀπογόνου Κεφάλου, ἐφ' ᾧ τέθαπται, ὡς Χάρμος φησίν. Ἔστι δὲ καὶ πόλισμα ὁμώνυμον.

ἈΦΆΡΚΑΙ, πληθυντικῶς, πολίχνη Κεφαλληνίας, κατὰ νώτων Σάμης, ἐπὶ τῶν κρασπέδων τοῦ Πτερελάου, Λιϐὸς ἀντίον, ἐγγὺς τῶν δέκα καὶ δύω σταδίων τῆς Ἀπειράνδρου θαλάσσης διεστῶσα, Σάμης δὲ πόλεως ἐξ· κτίσμα Ἐχέφρονος Διάρχου καὶ Βασιλίδος. Κέκληται δ' οὕτως διὰ τόν δε τὸν λόγον. Γευσαμένου ποτὲ τοῦ Ἐχέφρονος ἐν συμποσίῳ σὺν τοῖς ἀμφοῖν ἑταίροις ἀφάρκαις ὀπταῖς, τέθνηκεν ὅ, τε Ἐχέφρων καὶ συνγευσάμενοι. Τεθνεῶτες δὲ γενόμενοι, πομπώδους ταφῆς ἀξιοῦνται πρὸ τῶν πυλῶν καὶ τάφοις ἀμφιθεατρικοῖς, καὶ ἡρώου καὶ ἀνδριάντος, ὁ Ἐχέφρων· ἐπὶ δὲ τῇ

κεφαλῇ τοῦ ἀνδριάντος στέφανος ἐπέκειτο παραπλήσιος, τῇ τέχνῃ καὶ γραφῇ, ἀφάρκης, ἐφ οὗ καὶ ταῦτα. ἈΦΆΡΚΗ ΦΙΛΈΕΙ ἘΧ΄ΕΦΡΟΝΑ. Ἡ δὲ πολίχνη Ἀφάρκαι ὠνόμασται ἀπὸ τοῦδε· οὐ γὰρ τὸ πρῶτον οὕτως ἐκαλεῖτο, ἀλλ' Ἐχεφρύνη. ὡς Ἑκαταῖος, Φόρϐας καὶ Χάρμος φασίν. Ἔστι δὲ ἐθνικὸν Ἀφάρκιος.

Ἐκ τῆς δευτέρας Βίϐλου καὶ στοιχείου Β.

ΒΑΩΘΡΆ, χώρα παραλία Κεφαλληνίας τῆς νήσου ἐν τῷ λιμένι, μέσον Πάλης πόλεως καὶ ἰσθμοῦ. Ἦν δὲ ἡ χώρα ϐαθύδενδρος πάνυ μεστὴ πιτυῶν καὶ πλατάνων, δι ἣν αἰτίαν καὶ τὴν προσηγορίαν κατάλληλον ἔσχε· ἐν ᾗ καὶ τὰ Γαμοστόλια ἐπετέλουν.

Ἐκ τῆς τρίτης Βίϐλου καὶ στοιχείου Γ.

ΓΙΓΑΝΤΟΛΈΤΩΡ, ἄλσος Διὸς Γιγαντολέτορος Κεφαλληνίας τῆς νήσου παρὰ τῇ πόλει αὐτῆς Πάλῃ, ἐν ᾗ τὰ Γιγαντολέτορα ἐπετέλουν τῇ πρώτῃ Ἑκατομϐαιῶνος.

ΓΗΦΆΓΩΝ, κωμόπολις Κεφαλληνίας τῆς νήσου παραλία, καὶ εὔορμος, ἀντίον Ἀργέστου· διεστῶσα τοῦ ἰσθμοῦ Ἐθολοσφαγίου δύω πρὸς τοῖς τριάκοντα σταδίους· κτίσμα Ἐλλάνδρου Πάλλαντος καὶ Πρόκρης εὐδαίμονος ἀνδρός· ἐν ᾗ τοὺς ὑπεργήρους πέντηκταστῆς νήσου ἅπαντας ἔτρεφεν ἡ νῆσος· ἦν γὰρ τὸ ὄγδοον τῶν καρπῶν ἐψηφισμένον παρὰ τῇ βουλῇ διδόναι τοῖς πένησι καὶ ἴροις εἰς τροφήν· δι ἣν αἰτίαν καὶ ἡ κωμόπολις τὸ ὄνομα ἔσχε καθ' ἃ Στράϐων Ἱστορικοῖς Ὑπομνήμασι μέμνηται. Ὁ ἐξ αὐτῆς Γηφάγιος, καὶ Γηφαγεὺς εὕρηται παρὰ τῷ Ἱεροδάμαντι τῷ Συμαίῳ, ὃς τὰ Στράϐωνος *Ἱστορικὰ Ὑπομνήματα* εἰς εἴκοσι συνῆψε βίϐλους.

ΓΛΑΔΆΜΩΝ, ὄρος Κεφαλληνίας τῆς νήσου τὸ παρὰ τῷ Ἰσθμῷ παρὰ τοῖς πρόποσι τοῦ ὄρους, ἀντίον Νότου καὶ Ἐθελοσφα-

γέως ἡρώου κατάντηστιν· διεστήκει δὲ ἡ πολίχνη τοῦ ἰσθμοῦ τρεῖς πρὸς τοῖς δέκα σταδίους. Τὸ ἐθνικὸν Γλαδαμεὺς καὶ Γλαδάμιος, ὡς Φόρβας.

ΓΟΥΝΟΣ, χώρα παραλία Κεφαλληνίας τῆς νήσου ἀντίον Ἀπηλιώτου μεσσηγὺς τῷ ποταμῷ Εὐφόρῳ καὶ Ὀβριμοθύμῳ ἄκρῳ. Ἦν δὲ ἡ χώρα εὔαλσος καὶ εὐάμπελος πάνυ, καὶ εὔφορος ἐς τὰ μάλιστα δι' ἣν αἰτίαν καὶ Γουνὸς ἐκλήθη, ὡς Φόρβας.

Ἐκ τῆς τετάρτης Βίβλου καὶ στοιχείου Δ.

ΔΟΛΙΧΑΌΡΟΣ, κοιλὰς Κεφαλληνίας, οὕτω καλουμένης καὶ πολίχνη ἔστιν ὁμώνυμος ἐφ' ὕψους, πέντε πρὸς τοῖς τεσσαράκοντα διεστῶσα τῆς Σάμης πόλεως, καὶ τριάκοντα τῆς ἀντίον αὐτῆς Δολιχάορος θαλάσσης, κατάντηστιν Ἀπηλιώτου, ὃ Ποιμανδρεὺς ὁ ἥρως ὁ Τανάγρου καὶ Πασιχάρης ἔκτισεν, ὃς καὶ Δολιχάωρ ἐκλήθη· ἔφερε γὰρ ὁ ἥρως ἐν πολέμῳ σπάθην μακρὰν, καὶ οἱ ἀμφὶ τῷ ἥρωϊ δόρυ. Τεθνεὼς δὲ γενόμενος καὶ ταφῆς ἀξιωθεὶς ἀξίας τῷ ἥρωϊ, ἐν τῇ ἐπωνύμῳ κοιλάδι τέθαπται· ἡ δὲ κοιλὰς, ἀφ' ἧς τὸν ἥρωα ἔλαβε, τῆς αὐτῆς προσηγορίας ἔσχε. ἐκαλεῖτο δὲ τὸ πρῶτον οὐχ' οὕτως, ἀλλὰ πανεύκηλος, καθ' ἃ Ἑκαταῖος καὶ Φόρβας φασίν. Ἔστι δὲ ἐν τῇ κοιλάδι καὶ ἡρῷον ὁμώνυμον τῷ ἥρωϊ, ἐπιχώριον ἵδρυμα. Τὸ ἐθνικὸν Δολιχαορεύς.

Ἐκ τῆς πέμπτης Βίβλου καὶ στοιχείου Ε.

ἘΘΕΛΟΣΦΆΓΙΟΣ, ἰσθμὸς ὁ Κεφαλληνίας τῆς νήσου, ἐφ' ᾧ ἐθελοσφαγεὶς ὁ Πηλεὺς ταφῆς ἀξιοῦται πομπώδους, καὶ ἡρώου τῆς πράξεως ὁμωνύμου, ἐξ' οὗ καὶ ὁ ἰσθμὸς, ὡς Φόρβας.

ἘΝΑΡΑ, οὐδετέρως κωμόπολις ἐρυμνὴ Κεφαλληνίας τῆς νήσου, Ἀργέστου κατάντηστιν καὶ Πρόκρης κωμοπόλεως ἀντίον· καὶ διέχουσα ταύτης γε σταδίους δέκα μόγις· τῆς δὲ ἀκτῆς τῆς ὁμω-

νύμου τῆς παρὰ τὴν Ῥαγίαν θάλασσαν δύο πρὸς τοῖς δέκα. Ἐν τῇ παραλίᾳ τῆς κωμοπόλεως ταύτης ἠγκυροβόλησαν ποτὲ νύκτωρ γαῦλοι Κορινθίων πέντε δεούσας τριάκοντα, τῶν ναυτῶν ἐξ διαρπασαν τὴν χώραν καὶ λείαν ἐποιοῦντο· ὡς δὲ ἡμέρα ὑπέφαινεν, παραγενόμενος ὁ μάχιμος τῶν κατοίκων στρατὸς, καὶ ἄφνω καταπεσὼν, οὓς μὲν ἀπέκτειναν, οὓς δὲ ζωγρίᾳ ἐκράτησαν, οὓς δὲ φυγεῖν ἠνάγκασαν προτροπάδην εἰς τὴν θάλασσαν, ἐν ᾗ τοὺς τάφους πάντες εὗρον εὐμεγέθεις. Κύριοι δὲ τῆς παρεμβολῆς οἱ Κεφαλλῆνες γενόμενοι τῶν Κορινθίων καὶ τῶν γαυλῶν καὶ νηῶν καὶ πάσης τῆς ἀποσκευῆς, τῷ πλήθει κατισχύσαντες τρόπαιον ἤγειραν καὶ τὸν χῶρον Ἔναρα ἐκάλεσαν ἀπὸ τοῦδε, καθ' ἃ Ἑκαταῖος ὁ Ἀβδηρίτης γεγράφει καὶ Ἱεροδάμας. Ὁ ἐξ αὐτῆς Ἐναρεύς.

ἘΡῬΆΚΛΕΙΟΝ, πόλισμα Κεφαλληνίας, ἀντίον Ἀπηλιώτου, πεντήκοντα σταδίους τῆς πόλεως Σάμης διειστήκει τῆς Ἐῤῥακλείας δὲ θαλάσσης, τῆς κατάντηστιν, δύω πρὸς τοῖς εἴκοσι· κτίσμα Ἐῤῥακλέως ἕκτου υἱοῦ Σάμου, ἐν ᾧ καὶ βωμὸς Ἀφροδίτης ἵδρυται. Τὸ ἐθνικὸν Ἐῤῥάκλειος. Ἑκαταῖος.

ΕΥ̓ΗΝΌΡΙΟΝ, πόλισμα Κεφαλληνίας παράλιον παρὰ τῇ Ταφιούσσῃ πόλει· κτίσμα Εὐήνορος Πτερελάου· ἐν ᾧ καὶ βωμὸς Ἀθηνᾶς Εὐηνόρης, ἵδρυμα Διαλάμψης γυναικὸς Εὐρυσθένους ἥρωος ἐπιχωρίου. Τὸ ἐθνικὸν Εὐηνορεύς.

ΕΥ̓ΉΝΩΡ, ἀκρωτήριον Κεφαλληνίας, ἀντίον Ἀργέστου· ἀπὸ ἡρώου Εὐήνορος υἱοῦ Πτερελάου καὶ Ἀμφιδάμης, ὃ ἡ γυνὴ αὐτοῦ Ἀπολλωνία ἤγειρεν, εὖτε τέθνηκε μαχόμενος ἐν τῇ Θηβαίων χώρᾳ, συμμαχῶν τοῖς Ἀκαρνᾶσι σὺν τοῖς ἀμφοῖν ἀλκίμοις Ταφιουσσαίοις, καθ' ἃ Ἑκαταῖος.

ΕΥ̓ΠΙΝΕΊΑ, κοιλὰς Κεφαλληνίας τῆς νήσου ἡ ἐν μέσῳ Οὐρανίων τε πολίχνης καὶ Μεγητήρων κωμοπόλεως· κοιλὰς εὔδοτος τοῖς δένδρεσι ποικίλη καὶ ταῖς φυτουργίαις, εὖ ἐκπεπονημένη τέρψιν ποιοῦσα τοῖς παρακαθημένοις οὐκ ὀλίγον. Ἐστήκεισαν δὲ ἐν μέσῳ τῆς κοιλάδος ἄγαλμα Ἄρεως εὐπινὲς πάνυ, καὶ ἑκατέρωθεν τοῦ ἀγάλματος ἀνδριὰς Κλεάρχου καὶ Ἐλιτάρχου ἡρώων ἐπιχωρίων

τῶν τὴν νήσων εὐεργετησάντων τὰ μάλα· ἐπετέλουν δὲ κατ' ἐνιαυτὸν ἐν τῇ κοιλάδι ταύτῃ τῇ τρίτῃ, μετοῦντος Βοηδρομιῶνος, τὰ Βριήπεια κατὰ τὰς γραφὰς Ἡδυξίου· καὶ ταῦρον ἔθυον δίζυγον, καὶ ἀγῶνας ἐπετέλουν γυμνικοὺς οἱ εὐπινεῖς, δι' ἣν αἰτίαν καὶ ἡ κοιλὰς τῆς προσηγορίας ἔσχεν, ὡς Ἑκαταῖος.

ΕΥ̓ΧΑΡῚΣ, πόλις Κεφαλληνίας, ἡ τανῦν Πάλη, ἣν Δαίμων Ἐπηρίσου καὶ Θρομβάης, ἐξ Ἀκαρνανίας ὁρμώμενος, ἔκτισεν, ἥνπερ καὶ Εὐχαρίδα ἐκάλεσεν, ἀπὸ τῆς γυναικὸς Εὐχάρης θέμενος τὴν προσηγορίαν. Αὐτὴν καὶ Πηλεὺς ὁ Κεφάλου ἑλὼν, καὶ σκάψας, τὴν Πάλην ἔκτισεν ἐπὶ τῶν κρωμάκων τῆς κατασκαφείσης. Ἔστι δὲ καὶ χώρα παραλία ὁμώνυμος ἡ πέριξ τῆς πόλεως. Τὸ ἐθνικὸν Εὐχάριος, ὡς Ἑκαταῖος τε καὶ Φόρβας.

Ἐκ τῆς ἑβδόμης Βίβλου καὶ στοιχείου Η.

ἩΡΑΚΛΑ, κωμόπολις Κεφαλληνίας· ἀπὸ ἥρωος ἐπιχωρίου Ἡράκλου Σέλμαντος καὶ Στέρνης, ἐντὸς κοιλάδος· τῆς πόλεως Πρόννων τρεῖς πρὸς τοῖς δέκα σταδίους διεστῶσα, καταντίον τοῦ ἀκρωτηρίου Ἡράκλου καὶ ἀνέμου Καικίου. Ὁ ἐξ αὐτῆς Ἡρακλεὺς καὶ Ἡράκλειος, ὡς Φόρβας.

ἩΡΑΚΛΟΝ, ἀκρωτήριον Κεφαλληνίας· ἀπὸ τῆς ὁμωνύμου κωμοπόλεως Ἡράκλων, τῆς ἐπ' αὐτῷ. Διειστήκει δὲ ἡ κωμόπολις τοῦ ἀκρωτηρίου, ἐγγὺς, τρισὶ καὶ τριάκοντα σταδίοις· τῆς Χειμέτλου δὲ ἀκτῆς πλειόνων ἢ πεντήκοντα καὶ πέντε.

Ἐκ τῆς δεκάτης Βιβλου καὶ στοιχείου Κ.

ΚΈΦΑΛΟΣ, ὄρος Κεφαλληνίας· ἀπὸ ἡρῴου Κεφάλου ἐπὶ τῇ κορυφῇ ἱδρυμένου παρὰ τῇ πόλει Κεφάλου ἵδρυμα γυναικὸς αὐτοῦ,

ΚΤΕΙΝΟΚΈΡΔΑΛΟΣ, πόλισμα παράλιον Κεφαλληνίας, εἴκοσι σταδίους τῆς Σάμης πόλεως διειστήκει· ἐκλήθη δὲ Κτεινοκέρδαλος διὰ τήνδε τὴν αἰτίαν· Κατάκλαυστος ὁ Χερσιδάμαντος καὶ Περσεφόνης ἀπόγονος Πτερελάου, ἀποκτείνας Κέρδαλον τὸν αὐτοῦ ἀδελφὸν τὴν χώραν Κτεινοκέρδαλον ἐκάλεσεν, ἐν ᾗ αὐτὸν ἀπέκτεινεν, ὡς ἐκ τοῦ κτείνειν Κέρδαλον· κτίσας δὲ καὶ πόλισμα τῆς αὐτῆς ἔσχε προσηγορίας. Ἔστι δὲ καὶ ἱερὸν κάλινον ἐν αὐτῷ Κτεινοκερδάλου Διὸς, ὃ Κατάκλαυστος ὁ ἀδελφοκτόνος ἁγνίζων ἑαυτὸν ἵδρυσε, τῇ τῶν Ἱερέων τῆς Σάμης Ἀθηνᾶς προτροπῇ. Τὸ ἐθνικὸν Κτεινοκερδάλιος καὶ Κτεινοκερδαλεὺς, Ἑκαταῖος τε καὶ Φόρβας καὶ Εἰρηναῖος ὁ Πάτμιος.

ΚΡΆΝΟΙ, πόλις Κεφαλληνίας, πληθυντικῶς, ἡ πάλαι Ἀλιθρεμμονίς· ἀπὸ Κρανίου υἱοῦ Κεφάλου καὶ Πρόκριδος ἀνδρὸς ἀλιτρονόου, ἀλκῇ δὲ καὶ κάλει διαφερόντως. Κτείνας ποτὲ ὁ Κράνιος, ὁ ταύτης οἰκιστὴς, μάχῃ κρατερᾷ Βλημέδοντα Θηραμένους καὶ Ευπάλης τῶν Ἀκαρνάνων τύραννον, καθ' ἃ συνεμάχει αὐτοῖς καὶ ἄρας τὸ σῶμα τοῦ τεθνηκότος διεῖργε ταῖς χερσὶ, καὶ τὴν καρδίαν ἀποσπάσας τῶν σπλάγχνων ἐθήλαζε μυχθίζων· θηλάσας δὲ καὶ τὸν ἐχθρὸν προεώσας τῆς ἀσπίδος ἡνίκα βέλος ἐχθρικὸν διήλασεν αὐτὴν, ἀπέσπα τὴν σπάθην, καὶ κτείνεν ᾤχετο ἐπὶ τῶν πτωμάτων σὺν αὐτῷ καὶ ἡ δολιχάορος φάλαγξ αὐτοῦ. Γενόμενος δὲ ἐν τῇ χώρᾳ τῇ πολεμίᾳ τροπαῖον ἐστήσατο καὶ τῇ χώρᾳ ἐκράτει, καθ' ἃ Ἑκαταῖος καὶ Φόρβας γεγράφασιν. Ἔστι δὲ ἐν τῇ πόλει Κρανίων καὶ ἱερὸν Ἀρτέμιδος, ἵδρυμα Κρανίου. Ὁ ἐξ αὐτῆς Κράνιος καὶ Κρανεὺς, ὡς Φόρβας.

Ἐκ τῆς ἑνδεκάτης Βίβλου καὶ στοιχείου Λ.

ΛΊΑΝΘΟΣ, κωμόπολις Κεφαλληνίας εὖ οἰκουμένη τὸ πάλαι, κατ' Εὖρον ἀνήκουσα· διειστήκει δὲ τῆς ὁμωνύμου ἀκτῆς κατὰ μέσον καὶ τοῦ Σκηπτούχου ἄκρου τοῦ ἀντίον· διέχουσα τοῦ μὲν Σκη-

πτούχου σταδίους πέντε καὶ δέκα, τοῦ δὲ Λιάνθου ἀκρωτηρίου δέκα μοῦνον. Ἡ Λίανθος πόλις ἀνθῶν εὐώδης τὰ μάλιστα ἦν. καὶ γὰρ αἱ κοιλάδες αὐτῆς αἱ πέριξ πλήθουσιν ἀνθέων παντοδαπῶν ἀρωματοφόρων, καὶ ἄλλων ὄψεως τερπνῆς τῇ τῶν κατοίκων ἐπιμελίᾳ πάντων γιγνομένων, ἐξ ὧν καὶ Λίανθος, κτίσμα Χαρβάλου Κλεάνδρου καὶ Κασταλίας ἐπιχωρίου. Τὸ ἐθνικὸν Λιάνθιος καθ' ἃ Παυσανίας ὁ Σάμιος ἐν τῇ *Ἀνακεφαλαιώσει τῶν Ἑλληνικῶν*, καὶ Πολέμων ἐν ταῖς *Γραφαῖς*.

ΛΙΒΑΝΘΟΣ, κωμόπολις Κεφαλληνίας ἐγγὺς τῆς Κρανίων πόλεως, διέχουσα ταύτης σταδίους πέντε μόγις, κατὰ Νότον ἀνήκουσα, ἔνθα καὶ κρήνη τριακοντάκρουνος τοῖς δένδρεσι βαθύσκιος ἄρδην τὸ ὕδωρ ἐκπέμπουσα ἐς ἱκανὸν ὕψος ἀνερχόμενον διὰ πελωρίου ἀγάλματος τοῦ Τριτέως ἔχοντος διὰ στόματος διάτρητον σάλπιγγα θαυμασίαν τῷ μεγέθει, ἐξ ἧς καὶ τὸ ὕδωρ ὁρμητικῶς ἐξέρχεται καὶ τὴν χώραν περιῤῥαντίζει κύκλῳ τὴν ἱεράν, καταπίπτον κατὰ λιβάδας ἑξῆς, καὶ ἡ χώρα τῆς προσηγορίας ἔσχε. Γέμει δέ, ἡ χώρα, καρποφόρων δένδρων παντοίων καὶ ἄλλων καὶ τοῦ φυτοῦ τοῦ καλουμένου πληγίου (1) τοῦ ἀγάλματος ἀμφὶ τοῦ ἰάματα παντοῖα ἐν ταῖς πληγαῖς παρέχοντος, ἐξ οὗ καὶ τὸ ὄνομα. Τὸ ἐθνικὸν Λιβανθεὺς καὶ Λιβάνθιος, καθ' ἃ Κλεόμβουλος ὁ ἐξ Ἰθάκης ἐν τοῖς *Ἱστορικοῖς*.

ΛΑΕΡΤΑ, πόλισμα Κεφαλληνίας, οὐδετέρως, ἐπὶ γηλόφου παρὰ τοῖς κρασπέδοις τοῦ Λαερτίου ὄρους· διεστήκει γὰρ τούτου οὐ πλείω τῶν ὀκτὼ πρὸς τοῖς δέκα σταδίους, τῆς θαλάσσης δὲ τῆς καλουμένης Ῥαχίας τῆς ἀντίον Θρασκίου ἐννέα πρὸς τοῖς δέκα, κτίσμα Λαέρτου. Ἔστι δὲ ἐν αὐτῷ καὶ ξόανον Χαλκομεδούσης

(1) Ἴσως ὁ παρὰ τοῖς Ψυρίοις τ η ρ ο π λ ή τ η ς, καὶ κατ' ἄλλους τ η ρ ο π λ ή γ η ς, καλούμενος, διότι τὴν αὐτὴν ἰαματικὴν δύναμιν παρέχει καὶ οὗτος ἐπιτιθέμενος ἐπὶ τῶν πληγῶν, ἀφ' οὗ πρῶτον θλιβῇ, ὡς ὁ τοῦ ἐνδόξου Κ. Κανάρου συναθλητὴς καὶ παραστάτης, ὁ ἀτρόμητος Μοναχὸς Ἰ ω ά σ α φ Νικολάρας, ὁ ἐκ τῆς ἐνδόξου νήσου Ψυρίας ἐβεβαίωσεν ἡμᾶς.

Σιμωνίδης

μητρὸς Λαέρτου, ὅπερ καὶ Λαέρτιος ἵδρυσεν. Ἔχει δὲ τὸ ἐθνικὸν Λαέρτιος, καὶ Λαερτιεὺς εὕρηται παρ' Ἑκαταίῳ.

ΛΑΕΡΤΙΟΝ, ὄρος Κεφαλληνίας, οὐ μακρὰν τοῦ Ἀρκεισίου ὄρους· διεστήκει γὰρ τούτου εἴκοσι σταδίους ἀντίον Ἀπαρκτίου. ἀπὸ Λαέρτου Ἀρκεισίου υἱοῦ Κεφάλου καὶ Χαλκομεδούσης λαβὸν τὴν ἐπίκλησιν. Εὕρηται δὲ ἐπὶ τῷ ὄρει τούτῳ καὶ ἡρῷον, ὅπερ ὁ Ὀδυσσεὺς ὁ υἱὸς αὐτοῦ τε καὶ Ἀντικλείας, Ἰθάκης βασιλεύς, ἵδρυσε, καθ' ἃ Φόρβας.

ΛΕΥΚΙΠΠΑΤΙΑ, οὐδετέρως, πολίχνη Κεφαλληνίας, πρὸ ποδῶν τοῦ Χαλκομεδουσίων ὄρους καὶ Ἀπηλιώτου ἀντίον, ὀκτὼ πρὸς τοῖς δέκα σταδίους διεστῶσα τῆς θαλάσσης τοῦ λιμένος Ὀβριμοθύμου Κεφάλου. Κέκληται δ' οὕτως διὰ τοὺς ἐν αὐτῇ πάνυ δειλοὺς ἄνδρας, ὅθεν καὶ παροιμία *Λευκηπάτιος ἀλκή*. Ἐθνικὸν δ' ἔχει Λευκιππάτιος, ὡς Ἑκαταῖος καὶ Χάρμος.

ΛΕΥΚΟΠΕΠΛΑ, οὐδετέρως, πολίχνη Κεφαλληνίας, κτίσμα Ἀγησιλάου Ἠλεκτρύονος καὶ Λευκίππης ἥρωος ἐπιχωρίου. Ὠνόμασται δὲ Λευκόπεπλα, ὡς ἐκ τῶν γυναικῶν τῶν μακρὰ πέπλα φερουσῶν. Κεῖται δὲ ἡ πολίχνη τοῖς κρασπέδοις τοῦ τανυλόφου Μακέδνου ἄνω τοῦ λόφου Εὐδερκέος, ἀντίον Καικίου, τρεῖς πρὸς τοῖς τεσσαράκοντα διεστῶσα σταδίους τῶν Κράνων· τοῦ Ταλαυρίνου δὲ ὄρους ὀκτὼ πρὸς τοῖς εἴκοσι. Τὸ ἐθνικὸν Λευκόπεπλος, ὡς Φόρβας.

ΛΙΚΡΙΦΑΛΟΣ, πόλισμα ἐρυμνὸν Κεφαλληνίας, ἐπὶ λοφίσκου ὁμωνύμου, ἀντίον Καικίου, πέντε πρὸς τοῖς δέκα διειστήκει σταδίους τῆς κωμοπόλεως Μυχιοτόκης, τοῦ δὲ ἄκρου τοῦ καλουμένου Χειμέτλου δύω πρὸς τοῖς εἴκοσιν, ὅπερ ὁ ἥρως Λικρίφαλος ὁ Θρασυβούλου καὶ Πλατυστέρνης ἵδρυσεν, ἐξ οὗ καὶ τὸ πόλισμα ἔτυχε τῆς αὐτῆς προσηγορίας, Τὸ ἐθνικὸν ὁμωνυμεῖ τῷ ἥρωϊ, ὡς Φόρβας φησί.

Ἐκ τῆς δωδεκάτης Βίβλου καὶ στοιχείου Μ.

ΜΑΚΕΔΝΟΣ, τανύλοφος Κεφαλληνίας, ὁ ἀντίον τοῦ Ταλαυρίνου ὄρους· ἀπὸ ἥρωος ἐπιχωρίου Μακέδνου καλουμένου, ἐφ' οὗ καὶ τέθαπται, ὡς Φόρβας φησί.

ΜΕΓΗΡΙΤΑ, κωμόπολις Κεφαλληνίας, οὐδετέρως, μεσσηγὺς Λαέρτων τε πολίσματος καὶ Οὐρανίων πολίχνης· ἀντίον Ἀπαρκτίου καὶ δέκα σταδίους διεστῶσα τῆς Ῥαχίας παραλίας· ἀπὸ Μεγηρίτου, Λεάνδρου καὶ Παιγνιήμονος λαβοῦσα τὴν ἐπίκλησιν. Μεγηρίτης ἀγακλεὴς ἀνὴρ ὢν μάλα καὶ τοῖς δυνάσταις πέλεκυς ἀμφίστομος καταστὰς, καὶ ἀγαζήλους προσκτήσας οὐκ ὀλίγους, κατηγορεῖται ἐπ' ἀσεβείᾳ, καὶ ζημειοῦται ἰονθάδων αἰγῶν ἑβδομήκοντα θῦσαι τῇ Κόρῃ· θύσας δὲ τοῖς λαοῖς παῤῥησίᾳ καὶ τῷ δυνάστῃ χερσὶν ἰδίοις ἀβακαίως κατὰ τὰς γραφὰς, τὰς παρ' αὐτοῖς ἀγηλάτως πάντα φέρων, καὶ τοῦ δυνάστου καταγελῶντας, θυμοῦ πλησθεὶς ὁ θύων ἐπιπίπτει κατὰ τοῦ δυνάστου σὺν τοῖς ἀμφοῖν ἀγάστωρσι τοῖς βαρυσκινοφόροις, καὶ τὸν μὲν δυνάστην, Φιλοκλῆν τὴν κλῆσιν, κτείνας, τοὺς δὲ χρυσοῤῥάπιδας τοῦ δυνάστου διώξας μέχρι τῶν πυλῶν τῆς κωμοπόλεως Πυλάρων· τροπαῖον ἐστήσατο Ἐπειδὰν δὲ τάχιστα προσπεπὼν ἐπὶ τοῖς τείχεσι καὶ ἐντὸς αὐτῶν γενόμενος καὶ τηλεβολῶν λίθοις τοὺς καταπίπτοντας ταῖς ἀνδραγαθίαις πρωτεύει, καὶ τὸν ἀδελφὸν τοῦ δυνάστου, Εὔχαριν καλούμενον, σὺν τοῖς τρισὶ πρωτοστάταις ἀνεῖλε τῇ ἀγκίλῃ, τὴν πόλιν ἅπασαν προσκτησάμενος βοηθὸν ὁ ἥρως. Τούτων δὲ πεσόντων πολλοὶ παρ' ἑκατέρωτε κατετριτρώσκοντο ἄνευ λόγου. Φεισθεὶς δὲ τοῦ αἵματος ὁ ἥρως, ταῦρον ἕλκει θῦσαι τῇ Ἀλεξικάκῳ τὸν τυχαῖον, ὃν καὶ θύσας ἡ μάχη κατέπαυτο. Κατιδόντες δὲ οἱ ἱερεῖς τὰ γιγνόμενα κυκλοῦσιν αὐτὸν καὶ χρυσοῦν περιθέντες στέφανον, καὶ κῶμον ἄγοντες ἐπινίκιον, τὴν πόλιν ἀβροβάτως τρὶς διέρχονται· κἄπειτα χρυσέμβαφον ζώνην δόντες αὐτῷ καὶ χρυσοτόρευτον ξίφος ὡς βασιλεῖ προσεκύνησαν. Ὁ δὲ τὴν ἀρχὴν λαβὼν πατὴρ ἀγαθὸς τοῖς λαοῖς ἐγένετο ἐν τῇ Πυλάρων χώρᾳ τῇ τηλεπύλῳ. Κτίσας δὲ καὶ κωμόπολιν, ἐν τοῖς ὕστερον ἐν ᾧ χώρῳ τὸν δυνάστην ἀπέσφαξε, τῆς ὁ-

μωνύμου ἔσχε προσηγορίας, ὡς Ἑκαταῖός φησι καὶ Δοῦρις. Ἔστι δ' ἐν αὐτῷ και ναὸς θεᾶς Ἀλεξικάκου ἵδρυμα τοῦ τῆς κωμοπόλεως κτίστου. Τὸ ἐθνικὸν δ' αὐτῆς ὁμωνυμεῖ τῷ ἥρωϊ· εὕρηται δέ γε καὶ Μεγηριτεὺς παρὰ Κλεομβούλῳ τῷ ἐξ Ἰθάκης ἐν ταῖς *Ἱστορίαις* αὐτοῦ.

ΜΥΧΙΟΤΟΚΗ, κωμόπολις Κεφαλληνίας ἀντίον Ἀπηλιώτου δύω πρὸς τοῖς δέκα διεστῶσα σταδίους τοῦ πολίσματος Κτεινοκερδάλου· ἀπὸ Πλειάδος γυναικὸς Ἀστερίδαντος, τῆς ὕστερον Μυχιοτόκης κληθείσης διὰ τόνδε τὸν λόγον. Πλειὰς φωραθεῖσα μοιχευομένη, φεύγει τὴν αἰσχύνην τῶν ἀνθρώπων, μάλα δὲ τὴν ὀργὴν Ἀστερίδαντος τοῦ ἀνδρὸς αὐτῆς, εὖτε ἐγγὺς ἦν παραστῆναι τοῖς ἱερεῦσι τῆς Ἀθηνᾶς Σάμης, ἅμα κνέφα, καὶ περιπλανηθεῖσα εἰς Ἐῤῥάκλειαν ἀφίκετο, ὡς ἡμέρα ὑπέφαινε. Τυχοῦσα δὲ ξενίων παρὰ Ἡριππίδῃ τινὶ Κεφάλου καὶ Προπόμπης ἀνδρὶ ἐπιχωρίῳ διημέρευε παρ' αὐτῷ· νυκτὸς δ' ἐπιγενομένης ἐμελέτα ἀπιέναι, Ἡριππίδης δὲ γνοὺς οὐκ ἐᾷ, ἀλλὰ κρατεῖ τὴν γυναῖκα, τῷ κάλει τρωθείς. διέφερε γὰρ τῶν λοιπῶν ἐπιχωρίων κατά τε κάλος καὶ λέγειν. κρατήσας δ' ἐμνηστεύσατο. Πληρωθεισῶν δὲ τῶν ἡμερῶν τοῦ τοκετοῦ αὐτῆς ἀποπέμπεται· ἡ δὲ τὴν αἰσχύνην δεινῶς φέρουσα καὶ παντελῶς ἀθύμως ἔχουσα ἀπῆλθε τοῦ οἴκου, καὶ τῆς πόλεως ἐξέρχεται ἄρτον καὶ τυρὸν φέρουσα ἐν κυνουχίῳ, καὶ τὴν ὁδὸν τὴν πρὸς Σάμην διατρέχει οἰμώζουσα. Κυψάσης δὲ τῆς νυκτὸς καὶ Ἀργέστου ἐπιφυσοῦντος σφοδροῦ, βροχὴ ῥαγδαία τὴν γυναῖκα καταλαμβάνει, καὶ ἐν μυχῷ τινὶ παρὰ τῇ ὁδῷ καταφεύγει ἡ τάλαινα, ἐν ᾧ διανυκτερεύουσα καὶ τανθαλύζουσα, μήτηρ γίνεται τέκνου ἄῤῥενος. Ὁ δὲ Ἡριππίδης κατ' ὄναρ τὴν γυναῖκα ἰδὼν οἰμώζουσαν ἐν μυχῷ, καὶ βρέφος κλαυθμηρίζον, καὶ θεὰν τὴν Ἀφροδίτην πλήττουσαν αὐτὸν, ἔντρομος ἐξανίσταται καὶ τὴν γυναῖκα διώκει σπουδαίως. Γενόμενος δὲ ἐν τῷ μυχῷ (ὃν εἶδε κατ' ὄναρ), καὶ εὑρὼν αὐτὴν χαμαὶ νεκρὰν καὶ τὸ βρέφος ἐν σκέλεσι κείμενον γόνυ κάμπτει καὶ ἀσπάζεται αὐτὴν οὐ ζῶσαν, ἀλλὰ νεκρὰν ἐρυγμηλῶν, καλύπτει τὴν γυναῖκα καὶ ἐπανακάμπτει τῇ πόλει. Γνοὺς δὲ τὸ

ΠΑΝΕΠΙΣΤΗΜΙΟΝ ΚΡΗΤΗΣ
ΒΙΒΛΙΟΘΗΚΗ

ἁμάρτημα καταφεύγει τοῖς χρησμολόγοις καὶ χρησμὸν λαμβάνει ἱδρῦσαι ναὸν, τῇ *Θεᾷ Χρυσῇ*, εἰς ἣν θέσιν τὴν γυναῖκα εὗρε τεθνηκυῖαν. Ὁ δὲ ὑπακούσας τῷ χρησμῷ ἵδρυσεν, ὃς καὶ *Μυχιοτόκης Ἀφροδίτης* μετεκλήθη ἐν τοῖς ὕστερον χρόνοις. Ἔκτισε δὲ καὶ τὴν πέριξ τοῦ ναοῦ χώραν καὶ τῆς αὐτῆς ἔσχε προσηγορίας, ὡς Ἑκαταῖος Φόρβας τε καὶ Λκόστεφός φασιν. Ἔστι δὲ τὸ ἐθνικὸν, Μυχιοτόκης κωμοπόλεως, Μυχιοτόκιος.

Ἐκ τῆς δεκάτης τρίτης Βίβλου καὶ στοιχείου Ν.

ΝΑΥΣΙΠΡΟΝΝΟΙ, ἄκρον Κεφαλληνίας ἀντίον Ἠπείρου πέντε πρὸς τοῖς δέκα διέχον τοῦ Χειμέτλου. Κέκληται δ' ἀπὸ νηὸς Πρόννου υἱοῦ Κεφάλου, ἐφ' ᾧ καὶ νεναυπήγηται, ὡς Φόρβας.

Ἐκ τῆς δεκάτης πέμπτης Βίβλου καὶ στοιχείου Ο.

ὈΒΡΙΜΌΘΥΜΟΣ, ὁ Κεφαλληνίας λιμὴν, ὡς ἐκ τοῦ ἀνδριάντος Ὀβριμοθύμου Κεφάλου. Ἐπίθετον δ' ἔσχε ὁ Κέφαλος τὸ *Ὀβριμόθυμος*· ἦν γὰρ ὁ Κέφαλος μάλα μεγαλόψυχός τε καὶ μεγαλόφρων. Ἑστήκει δὲ ὁ ἀνδριὰς πρὸ τῶν χειλέων τοῦ λιμένος, κατάντηστιν τῆς Κράνων πόλεως, καὶ ἄκρου Παρδάλου ἀντίον Λιβὸς πρὸς τῇ παραλίᾳ ἐπὶ λίθῳ νευρίτῃ· δύω πρὸ τοῖς δέκα πόδας ἔχοντος τοῦ λίθου καὶ τρεῖς πρὸς τοῖς εἴκοσι τοῦ ἀνδριάντος, ὡς Ἑκαταῖός φησιν· ἤγειρε δὲ ὁ δῆμος Κεφαλλήνων.

ΟΥ̓ΡΑΝΊΑ, πολίχνη Κεφαλληνίας τῆς νήσου ἐπὶ τῶν ἑώων πλευρῶν τοῦ ὄρους Ἐπισύχνου ἀντίον Μέσου, οὐκ ἄπωθεν τῆς Εὐπινείας κοιλάδος τῆς ἐγγὺς τῶν Μεγητήρων. Διεστήκει δὲ ἡ Οὐρανία τῶν Μεγητήρων σταδίους μικρὸν ἀπολείποντας τῶν ἑκκαίδεκα. Κέκληται δὲ ἀπὸ Οὐρανίας θυγατρὸς Ἐπιτελοῦς καὶ Θεάνδρης Πρυτάνεως τοῦ Αἰνίου ἱεροῦ, ἐν ᾧ χώρῳ θνήξασα τέθαπται ἡ νεάνις, ὡς Κλέανδρος ὁ Λακεδαιμόνιος. Τὸ ἐθνικὸν Οὐρανεὺς καὶ Οὐράνιος.

Ἐκ τῆς δεκάτης ἕκτης Βίβλου καὶ στοιχείου Π.

ΠΆΝΟΡΜΟΣ, ὅρμος Κεφαλληνίας, ὁ πρὸς Ἰθάκης πορθμῷ, ἀντίον Ἀπηλιώτου καὶ πολίσματος Ἰθάκης Καλλιδάμης τοῦ κατάντηστιν, ὡς Ἀναξίμανδρος ἐν *Πίναξι*. Ἔστι δὲ καὶ κωμόπολις ὁμώνυμος τὸν ὅρμον καθωραΐζ[illegible]Ἐλλαμοδάμωνος Πελασγοῦ· Τὸ ἐθνικὸν Πανόρμιος. Ἔστι δὲ καὶ ἱερὸν Διὸς Ἀμφιλόρου, ἵδρυμα Ἀμφιλόρου ἥρωος ἐπιχωρίου.

ΠΙΛΗ, πόλις Κεφαλληνίας, πέντε πρὸς τοῖς τριάκοντα διεστῶτα σταδίους τοῦ Ἰσθμοῦ Ἐθελοσφαγίου, ἐπὶ τῆς παραλίας Εὐχαρίδος ἐν τῷ λιμένι Ὀβριμοθύμῳ, κατάντηστιν Ἀπηλιώτου. Ἣν Πηλεὺς ὁ Κεφάλου ἔκτισεν ἐπὶ τῶν παλαιῶν ἐρειπίων τῆς ἀρχαίας πόλεως Εὐχαρίδος, εὖτε Πηλεὺς ὁ Κεφάλου ἑάλω καὶ κατέσκαψεν, ὡς Φόρβας. Ἦν δὲ ἐν τῇ πόλει τὸ πάλαι καὶ ἱερὸν Ἀθηνᾶς Πάλιδος. Τὸ ἐθνικὸν Παλεὺς, ὡς Ἑκαταῖος.

ΠΑΛΛΆΔΙΟΣ, λόφος Κεφαλληνίας ἐπὶ τῷ Κρονίῳ ἄκρῳ τῷ ἐν τῷ λιμένι παρὰ τῷ Ἁλιθρεμμονίῳ πολίσματι· ἀπὸ ξοάνου τῆς Παλλάδος, ὃ Κέφαλος ἵδρυσε. Φόρβας.

ΠΆΡΔΑΛΟΣ, ἀκτὴ Κεφαλληνίας ἡ πρὸ τῶν χειλέων Ὀβριμοθύμου λιμένος, κατάντηστιν τοῦ ἀνδριάντος Κεφάλου, ἀντίον Ἀπηλιώτου· ἀπὸ ἡρώου Παρδάλου Ἰφικράτους καὶ Ξενοχάρης, ὃ ἡ γυνὴ αὐτοῦ Ἐλπινίκη ἵδρυσεν, ἡνίκα τὸν θάνατον ἀπηγγείλαντο τῇ γυναικὶ οἱ ἑταῖροι τοῦ πεσόντος ἐν μάχῃ τινὶ κατὰ Θηβῶν, ὡς Φόρβας.

ΠΑΡΘΈΝΙΟΝ, παράλιον Κεφαλληνίας ἀντίον Καικίου, ἐννέα πρὸς τοῖς δέκα σταδίους διέχον τῶν Ναυσιπρόννων ἄκρου· κέκληται δ' ἀπὸ θυγατρὸς Χρομίου τῆς Παρθένου. Καθημένη δέ ποτε ἡ νεάνις ἐπ' ἐρίπνης, ἁλυμιρῆς παιδιᾶς ἕνεκα, καὶ ὀλισθήσασα καὶ πεσοῦσα ἐν θαλάσσῃ θνήσκει· τὸ δὲ σῶμα τῆς Παρθένου εὑρεθὲν ἄλιφυτον ταφῆς ἀξιοῦται παρθενικῆς, ἐν ᾗ παραλίᾳ εὕρηται· τὸ δὲ παράλιον Παρθένιον κέκληται ἀπὸ τοῦδε. Φόρβας.

ΠΙΚΡΟΓΆΜΙΑ, κωμόπολις, οὐδετέρως, Κεφαλληνίας παρὰ τοῖς κρασπέδοις τοῦ Λαερτίου ὄρους κειμένη, κατάντηστιν τοῦ

Ἀρκεισίου πολίσματος, καὶ ἐννέα πρὸς τοῖς δέκα σταδίους διεστῶ-
στῶσα τούτου, ἀντίον Καικίου. Ἔκτισε δέγε ἀνὴρ ἐπιχώριος Χρύ-
σιππος ὁ Ἀγήνορος καὶ Κεφάλης· ἐκλήθη δὲ Πικρογάμια διὰ τήνδε
τὴν αἰτίαν. Χρύσιππος γήμας καὶ πέμπτην γυναῖκα Τηλεβοΐδα
καλουμένην (τεθνεωσῶν τῶν [redacted]των τῇ μίξῃ, τοῦ ὑμεναίου ἐγ-
γύς). ἦν γὰρ ὁ Χρύσιππος Πρίαπος τὸ αἰδοῖον, εὗρεν αὐτὴν συν-
οικοῦσαν ἐπὶ λέχους, ἐπίδης γενομένης, μετ' Εὐρυμέδοντος συν-
εταίρου Χρυσίππου, εὖτε τοῦ παραδείσου ἧκε. Τοῦτο ἰδὼν ἄφνω
καὶ τὴν πρᾶξιν θεασάμενος, ἐπλήσθη θυμοῦ διά τε τὴν ἀπιστίαν
γυναικὸς καὶ ἑταίρου, καὶ στὰς σύννους ἐπὶ μικρόν, ἀπέσπα τὸ ξί-
φος ὕστερον καὶ κατ' αὐτῶν καταράσσει· καὶ τὸν μὲν Εὐρυμέδον-
τα μεσσηγυδορποχέζοντα ὁρῶν διήλασε τῷ ξίφει καὶ ἄπνουν ῥίπτει
χαμαί· τὴν δὲ Τηλεβοΐδα κρεμμάσας ἐπὶ πασσάλῳ τινὶ ἄνω τῆς
πύλης τοῦ ὀπισθοδόμου ταῖς θριξὶ τοὺς μαστοὺς ἀποτέμνει, καὶ
τοὺς οἰκείους καλεσάμενος ἐδείκνυε. Μαθὼν δ' ὁ πατὴρ τῆς γυναι-
νικός, Ἀμαξανδρεύς, τὸ γεγονὸς σπεύδει τὴν ταχίστην δακρυρρο-
ῶν, ἵνα τὴν σκηνὴν καταλάβῃ· γενόμενος δὲ ἐν τῇ οἰκίᾳ τοῦ νυμ-
φίου καὶ θεασάμενος τὴν θυγατέρα αὐτοῦ κρεμμαμένην γυμνὴν τῷ
σώματι, καὶ τοῖς πᾶσιν ἐκτεθειμένην, καὶ νεκρὰν φωνὴν ἀφεὶς τρα-
χεῖαν, πίπτει οἰμώζων, εἶτα ἐγερθεὶς καὶ ἐπὶ διερείσματι τινὶ κλί-
νας ὁ γηραιὸς οἴμωζε τὰς Ὥρας· ἦν γὰρ φιλόστοργος σφόδρα. Κἄ-
πειτα δὲ αἰτησάμενος τὸ σῶμα λαμβάνει, λύτρα δοὺς καθ' ὃ ἔθος
ἐπεκράτει ἐπιχώριον ἐν ὁμοίαις περιστάσεσιν. Παραλαβὼν δ' ὁ γέ-
ρων τὸ σῶμα τῆς πεφιλημένης αὐτοῦ θυγατρός, ὡς ᾐτήσατο, τα-
φῆς ἠξίωσε πομπικῆς. Ὁ δ' ἀνὴρ τῆς τεθνηκυίας Πικρογάμια τε-
λεῖ τὴν ὑστεραίαν τῆς ταφῆς μεταμεληθείς. ἦν γὰρ καλὴ τῇ ὄψει
σφόδρα ἡ γυνή· καὶ ἑορτὴν Πικρογαμίων κατ' ἐνιαυτὸν ἐπετέλει
ἐφόρου ζωῆς. Ἐκάλει δὲ καὶ τὴν χώραν, ἐν ᾗ τέθαπται ἡ γυνή, Πι-
κρογάμια ἀπὸ τοῦδε, ὡς ἐκ τῆς πικρίας τῆς ἐκ γάμου. Ἐν δὲ τοῖς
ὑστέροις καιροῖς καὶ τὴν κωμόπολιν ἐκάλεσαν οὕτως οἱ κάτοικοι·
οὐ γὰρ τὸ πρότερον Πικρογάμια ἐκαλεῖτο ἀλλὰ Χρύσιππος, καθ' ἃ
γεγράφει Ἑκαταῖος. Τὸ ἐθνικὸν δ' αὐτῆς Πικρογάμιος, καὶ Πικρο-
γαμεύς εὕρηται,

ΠΡΟΚΡΟΙ, κωμόπολις Κεφαλληνίας παραλία, πληθυντικῶς,
ἐπὶ τῆς Ῥαγίας παραλίας, ἀντίον Λαέρτου πολίσματος, καὶ ἐννέα
πρὸς τοῖς δέκα σταδίους διεστῶσα, αὐτῶν κατάντηστιν Θρασκίου.
Ἔκτισε δὲ Πρόκρος Λεόφρονος καὶ Ἐπιζήλου, ἐξ οὗ καὶ τῆς προσ-
ηγορίας ἔτυχε. Τὸ ἐθνικὸν Προκρεὺς καὶ Πρόκριος, Φόρβας.

ΠΡΟΝΝΟΙ, πόλις Κεφαλληνίας, πληθυντικῶς, ἡ πάλαι πο-
τὲ Τιμοξάνδρεια, κατάντηστιν Καικίου· ἀπὸ Πρόννου Κεφάλου καὶ
Προκρίδος δευτεροτόκου. Καθελὼν γὰρ ὁ Πρόννος τὴν τοῦ Τιμο-
ξάνδρεως πόλιν μάχῃ κραταιᾷ, καὶ ἄλλην προσκτίσας Πρόννους
ἐκάλεσεν· ἀπὸ τοῦ ὀνόματος αὐτοῦ θέμενος τὴν προσηγορίαν. Ἔστι
δὲ καὶ ἱερὸν Διὸς Πρόννου, ὃ Πρόννος ἵδρυται. Τὸ ἐθνικὸν Πρόν-
νιος, ὡς Ἑκαταῖος. Εὕρηται δὲ καὶ Προννεὺς παρὰ Φόρβαντι.

ΠΤΕΡΕΊΔΑΟΝ, ὄρος Κεφαλληνίας, πρὸς Εὐρόνοτον τῆς Σά-
μης πόλεως, τὸ παρ' αὐτῆς ἀπὸ Πτερελάου Τάφου καὶ Λισίκλης.
Ἔστι δὲ ἐπὶ τῇ κορυφῇ καὶ ἡρῷον Πτερελάου, ὡς Ἑκαταῖος καὶ
Φόρβας φασί.

ΠΥΛΑΡΑ, οὐδετέρως, κωμόπολις Κεφαλληνίας παραλία· γε-
νέθλιον δ' ἔδαφος τῷ γεγραφότι τάδε τὰ Ἐθνικά, *ΕΥΑΓΡΩι*.
Κεῖται δὲ ἡ κωμόπολις ἐν τῷ πορθμῷ ἀντίον Καικίου τοῦ ἀκρωτη-
ρίου Χερσιδαμίου κατάντηστιν, δύω πρὸς τοῖς τριάκοντα πλοῦν
διέχουσα τούτου, καὶ ὀκτὼ πρὸς τοῖς δέκα τοῦ Ἀρκεισίου πολίσμα-
τος. Κέκληται δ' οὕτως διὰ τόνδε λόγον· Πυλαρεῖς πρὸς Σαμίους
τοὺς γείτονας αὐτῶν μάχην συνάψαντες, καὶ Σαμίους Πυλαρεῖς κατα-
βαλόντες καὶ τὴν πόλιν αὐτῶν ἑλόντες, τὴν εὔτειχον Σάμην κατέ-
σκαψαν. Πολύανδρος δέ τις Πυλαρέων ἥρως Φιλιππάρχου καὶ Τη-
ριδάης τὰς πύλας τῆς πόλεως Σάμης ἄρας ἀνεῖργε τοὺς ἔμ-
προσθεν καὶ διέσπα, καὶ ἐν τῇ γενεθλίῳ αὐτοῦ χώρᾳ ἀφίχθη, τοὺς
διώκτας φεύγων. Ἐπεὶ δὲ ἀφίκετο, τὰς πύλας ἀφεὶς χαμαὶ καὶ τὸ
ξίφος σπάσας, ὁ ἰοπλόκαμος οὗτος ἀνὴρ τοὺς διώκτας ἐτίτρωσκε
παραμυχόμενος καὶ ἀλυτάρχην τῶν Σαμίων Πλειστόμβροτον τὴν
κλῆσιν κτείνει θοάζων, πεσόντα δὲ καὶ τοῦτον ταφῆς ἠξίωσεν ὁ
δῆμος πομπικῆς τὴν ὑστεραίαν, ἐν ᾗ χώρᾳ τὰς πύλας ἔθετο ὁ τε-

θνηκώς, τύμβον δὲ τὰς πύλας. Ἐν δὲ τοῖς ὑστέροις καὶ ἀνδριάντος ἠξιώθη ὁ ἥρως. Ἡ δὲ χώρα Πύλαρα ἀπὸ τοῦδε μετωνόμασται, ὡς ἐκ τοῦ πύλας αἴρω. Τὸ πάλαι δὲ οὐχ οὕτως ἀλλ' Ἀμφιθάλασσα ἐκαλεῖτο, οὐδετέρως καὶ ταῦτα· ἀπὸ Ἀμφιθαλάσου Κλεάρχου καὶ Τιμοχάρης, τοῦ κτίσαντος αὐτήν. Ἦν δὲ τὸ πάλαι ἐν αὐτῇ καὶ ναὸς Διοσκούρων Τανυκρήπου καὶ Φιλητιλῆς ἀνδρὸς ἐπιχωρίου. Τὸ ἐθνικὸν δ' αὐτῆς Πυλαρεὺς εὕρηται παρ Ἑκαταίῳ.

Ἐκ τῆς δεκάτης ἑβδόμης βίβλου καὶ στοιχείου. Ρ.

Ῥαχία, παραλία Κεφαλληνίας τῆς νήσου, ἡ ἀντίον Θρασκίου ἀνέμου. ἐν ᾗ παραλίᾳ αἱ Πτερελάου νῆες πεσοῦσαι νύκτωρ ἀπώλοντο. θορύβου δὲ γεννηθέντος οὐ μικροῦ τὴν παραλίαν Ῥαχίαν ἐκάλεσαν, ὡς Ἑκαταῖος.

Ἐκ τῆς δεκάτης ὀγδόης Βίβλου καὶ στοιχείου Σ.

ΣΑ'ΜΗ, πόλις ἐν νήσῳ τῇ Κεφαλληνίᾳ, εὖ οἰκουμένη τὸ πάλαι ἐπὶ τοῦ Χερσιδαμίου ἄκρου τῆς παραλίας Ἀπειράνδρου πρὸ τῶν κρασπέδων τοῦ Πτερελάου ὄρους, ἀντίον Ἀπαρκτίου· ἀπὸ Σάμου Ἡγησικλέους καὶ Εὐχάρμης λαβοῦσα τὴν ἐπίκλησιν. Ἦν δὲ ὁ Σάμος ἥρως Ἀκαρνάνων καὶ φόβητρον ἁπασῶν πόλεων Ἀκαρνανίας, ἀνὴρ πελώριος καὶ μάλα ἄλκιμος. λειριόεις, τὸ ἦθος εὔθετος, ἐλίθριξ τε τὴν κόμην καὶ λειογένειος, καθ' ἃ Ἑκαταῖος. Διαβληθεὶς ποτὲ τῷ τυράννῳ Φοιτειῶν Φαέθοντι ἐπὶ ἁρπαγῇ τοῦ θρόνου τοῦ δὲ τυράννου κρίνοντος ἐκ ποδῶν ποιήσασθαι τὸν ἄνδρα (τοῖς διαβόλοις πειθομένου), ἀπέδρα ὁ ἥρως νυκτὸς ἐπιγενομένης, τὴν χώραν δῃώσας τὸ πρῶτον, ἡνίκα τὸν δόλον κατενόει, καὶ εἰς νῆσον τὴν Κεφαλληνίαν ἀπάρας, ἔρημον οὖσαν, σὺν τοῖς ἀμφοῖν μεγαθύμοις ἑταίροις ἀμίπποις πόλιν ὁμώνυμον κτίζει· ἣν ὕστερον ὁ Κεφάλου πρωτότοκος ἑλὼν ἐνεπίμπρατο· ἄλλην δὲ προσκτίσας οὐ πόῤῥω ταύτης, οὐ Σάμην, ἀλλὰ Σάμον ἐκάλεσε, δι' ἣν αἰτίαν

καὶ ἡ νῆσος Σάμος προσηγόρευται. Ἔστι δ' ἐν αὐτῇ Ποσειδῶνος
καὶ Ἀθηνᾶς ἱερά, ἃ Σάμος ἵδρυτο. Τὸ δ' αὐτῆς ἐθνικὸν Σαμαῖος
καὶ Σαμεύς, παρὰ Χάρμῳ, Ἱεροδάμαντι, Ἀλεξάνδρῳ τῷ Καλυ-
μνιάτῃ ἐν τῇ τῶν *Ἱστοριῶν Ἐπιτομῇ*.

ΣΚΗΠΤΟΫΧΟΝ, ἄκρον Κεφαλληνίας τῆς νήσου, κατάντη-
στιν τῆς ὁμωνύμου πόλεως, ἓξ πρὸς τοῖς δέκα σταδίους μακρὰν
αὐτῆς, ἀντίον νότου, ἐφ' ᾧ καὶ ἀνδριὰς Κεφάλου ἵδρυται, σκῆ-
πτρον κατέχον τῇ χειρὶ τῇ δεξιᾷ, ἀφ' οὗ καὶ τὸ ἄκρον, ὃ Νέ-
στωρ Θεάνδρου καὶ Στεατόρης ἵδρυσεν, ὡς Φόρβας καὶ Λαόστεφος,
ὁ τὰ *Ποικίλα* γεγραφώς, καὶ Ἑλλάδιος ὁ Κεφαλλὴν ἐν τῇ *Ὀγδόῃ τῶν Ἑλληνικῶν*.

Ἐκ τῆς δεκάτης ἐννάτης Βίβλου καὶ στοιχείου Τ.

ΤΑΛΑΥ'ΡΙΝΟΣ, κορυφὴ ὁμωνύμου ὄρους Κεφαλληνίας, τοῦ Πτερελάου κατάντηστιν ὄρους καὶ πεντήκοντα τούτου σταδίους διεστῶσα. Ἐν αὐτῇ Χερσιδάμας ὁ Ταλασίφρων ὁ Τάφου καὶ Ἱπποθόης, συνάψας μάχην κρατερὰν κατὰ Μήστορος τοῦ ἀδελφοῦ αὐτοῦ προμάχει τῆς ἀσπίδος σὺν ὀγδοήκοντα πρὸς τοῖς ἑκατὸν δολιχάορσι Κεφαλλῆσι. Πάντες δὲ πεσόντες κύκλῳ ἐξαιρουμένων πέντε πρὸς τοῖς δέκα. Χερσίδαμος μοῦνος ἀντέχει θρασὺς γενόμενος, σὺν τῇ γυναικὶ αὐτοῦ Κεκαχίᾳ, γυναικὶ τανυεθείρῳ, καὶ Ἑλλανίκῳ τῷ ἐπιλεκτάρχῃ σὺν τοῖς ἐπιλειπομένοις· καὶ τὰ βέλη τὰ κατ' αὐτοῦ τὰ ὁμοκοίλια ἡ ἀσπὶς δεχομένη κλάει, καὶ τὸν κύρτον αὐτῆς σώζει τοῦ προκειμένου κινδύνου. Νυκτὸς δὲ γενομένης ᾤχετο εἰς Σάμην τὴν πόλιν κλέξδην τὴν ἀσπίδα καταλιπὼν μούνην, ἐξαπατῆσαι τὸν ἀδελφὸν βουλόμενος διὰ τοῦδε τοῦ στρατηγήματος. καὶ ἐκεῖσε ἄλλους προσλαβών, ἄνδρας μαχίμους τῇ γυναικὶ χαριζομένους, καταράσσει ἄρνω αὐγῆς ὑποφαινομένης ὅτε Μήστωρ ἐν σκηνῇ ἐκάθευδε· διαρπάζει τὸ στρατόπεδον καὶ τὸν ἀδελφὸν αἰχμάλωτον ἔχει, διώκει τοὺς φεύγοντας σὺν τῇ ἐρυγμήλῳ φάλαγγι καὶ ἧτταν ἀγχωμάλως φέρει στραφείς. Ἄγει δ' ὕστερον τὸν ἀδελ-

φὸν ἐπὶ τῇ κορυφῇ ζῶον, καὶ τὴν ἀσπίδα δείξας αὐτῷ τὴν ἐν μέσῳ τῶν δοράτων καὶ πτωμάτων ἑστηκυῖαν, ἔλεξεν ὧδε· *Ἰδοὺ ὁ φύλαξ ὁ ἐμὸς, ὁ σωτὴρ, ὁ φίλος καὶ ἀδελφὸς τοῦ σοῦ ἐχθροῦ τε μὲν, ἀδελφοῦ δέ·* κἄπειτα θύσας τῷ Διὶ διηλλάγη τε τῷ ἀδελφῷ καὶ στήσας τροπαῖον ἐπιτίθησι τὴν ἀσπίδα, καίει τοὺς πεσόντας καὶ ἀπέρχεται οἴκαδε. Ἡ δὲ κορυφὴ Ταλαύρινος ὠνόμασται ἀπὸ τοῦδε, ὡς ἐκ τῆς ἀσπίδος τῆς ἀνδεξάσης ἐπὶ τοσοῦτον, καθ' ἃ Ἑκαταῖος, Φόρβας καὶ Ἑλλάδιος ὁ Κεφαλλήν.

ΤΑΥΚΡΈΑ, πολίχνη Κεφαλληνίας παραλία· ἀπὸ Ταύκρου Ἀγαθαρχίδου καὶ Ῥοδοχάρης τοῦ κτίσαντος αὐτὴν, ὀκτὼ σταδίους τῆς Χάρμης χώρας διεστῶσα, καὶ τρεῖς πρὸς τοῖς δέκα τῆς τῶν Τηλεβόων ἀντίον ἀπηλιώτου. Ὁ κάτοικος Ταυκραῖος καὶ Ταύκριος. Ἑκαταῖος καὶ Ἑλλάδιος.

ΤΑΦΊΟΥΣΣΑ, ἡ πάλαι Τάφος, πόλις Κεφαλληνίας παραλία ἀντίον Ζεφύρου παραλλήλως τῆς τοῦ Πηλέως διεστῶσα ταύτης, πέντε πρὸς τοῖς τριάκοντα σταδίους, πρὸς τῇ παραλίᾳ Εὐήνορος πολίσματος, κατάντηστιν τοῦ ἡρῴου Εὐήνορος καὶ τοῦ ὁμωνύμου πολίσματος, ὀκτὼ σταδίους καὶ τούτου διεστῶσα. Ἔχει δὲ ἡ Ταφίουσσα κτίστην Τάφον Ἱπποθόης καὶ Ποσειδῶνος, ἀφ' οὗ καὶ ἡ πόλις τῆς προσηγορίας ἔτυχε, καθ' ἃ Ἑκαταῖος καὶ Φόρβας φασίν. Ἔστι δὲ ἐν αὐτῇ καὶ ἱερὸν Ποσειδῶνος ἐπηρεφὲς Ταφιουσσαίου, ὃ Τάφος ἵδρυται, ὁ υἱὸς αὐτοῦ, ὡς Λαόστεφος καὶ Ἑλλάδιος ὁ Κεφαλλὴν ὁ ἐκ Ταφιούσσης πόλεως. Τὸ ἐθνικὸν Ταφιουσσαῖος, καθ' ἃ Ἑκαταῖος, καὶ Ταφιουσσεὺς εὕρηται παρ' Ἑλλαδίῳ.

ΤΗΛΕΒΌΕΣ, πόλις Κεφαλληνίας παραλία, πληθυντικῶς, ἀπὸ Τηλεβόου υἱοῦ Πτερελάου καὶ Δαιτρεύσης· ἣν ἑλὼν ὁ Ῥωμαῖος καὶ κατασκάψας καὶ τὴν πέριξ χώραν δῃώσας βαρβάρως, παραλείψας οὐδὲν, ἄλλην ἀνέκτισεν ἐν τοῖς ὕστερον, καθ' ἃ Φόρβας. Ἦν δὲ τὸ πάλαι ἐν αὐτῇ καὶ ἱερὸν Ἀρτέμιδος μεγαλοπρεπὲς, ὃ Ἄχειλος Τηλεβόου, ὡς Ἑκαταῖος τε καὶ Φόρβας. Ἔκειτο δὲ ἡ πόλις ἐπὶ τοῦ ὁμωνύμου ἀκρωτηρίου, κατάντηστιν τῆς ῥινὸς αὐτοῦ, δύω πρὸς τοῖς δέκα σταδίους διεστῶσα τοῦ ἀκρωτηρίου· τῆς χώρας δὲ

Χρομίας ἴσα, ἀντίον Εὔρου. Τὸ ἐθνικὸν Τηλεβοεύς. Ἑλλάδιος τε καὶ Μαίανδρος ἐν ταῖς *Κωμῳδίαις*.

ΤΗΛΕΒ'ΟΟΝ, ἀκρωτήριον Κεφαλληνίας κατ' Εὐρόνοτον ἄνεμον. Διέχει δὲ τοῦ Χερσιδαμίου ἀκρωτηρίου ἐγγὺς τῶν πεντήκοντα πρὸς τοῖς ἑκατὸν διάπλουν. Ἵδρυται δὲ ἐπὶ τοῦ κέντρου καὶ ἡρῴου Τηλεβόου, ἀφ' οὗ καὶ τοῦ ὀνόματος ἔτυχεν. Ἀπωτέρω δὲ τούτου ἡ πόλις Τηλεβόες, ὡς Φόρβας, Ἑλλάδιος καὶ Λαόστεφός φασι.

ΤΙΜΟΞΆΝΔΡΕΙΑ, πόλις Κεφαλληνίας παραλία, οὐ μικρὰ τὸ πάλαι, τῆς Σάμης ἐννενήκοντα σταδίους διεστῶσα ἀντίον Καικίου, ἣν Τιμόξανδρος ὁ Σάμου καὶ Περίλαος ἔκτισεν, τριτότοκος υἱὸς, ἣ Πρόννοι ὕστερον ἐκλήθη, ὡς Ἑκαταῖος καὶ Φόρβας καὶ Λαόστεφός φασιν. Τὸ ἐθνικὸν Τιμοξανδρεύς.

Ἐκ τῆς εἰκοστῆς Βίβλου καὶ στοιχείου Υ.

ὙΔΡΈΑ, πόλισμα παράλιον Κεφαλληνίας τῆς νήσου πρὸς Ἰθάκης πορθμῷ κατ' Ἀπηλιώτην τῆς πόλεως Πυλάρων καὶ πέντε σταδίους ταύτης μόγις ἀπέχουσα, κατάντηστιν Καικίου· κτίσμα Ὕδρου Κεφάλου καὶ Περιδηρίτου. Τὸ ἐθνικὸν Ὑδρεὺς καὶ Ὕδριος παρὰ τοῖς ἐγχωρίοις καὶ Ἑλλαδίῳ.

ὙΔΡΈΑΣ, ἀρσενικῶς, ἀκτὴ Κεφαλληνίας, κατὰ Ζέφυρον τῆς νήσου, ἀντίον Ἀπαρκτίου καὶ Νέσσωνος κωμοπόλεως κατάντηστιν, διέχουσα ταύτης περίπλουν σταδίους βραχὺ λείποντας τῶν πέντε καὶ πεντήκοντα· ἀπὸ ὁμωνύμου ἡρῴου, ἐφ' ᾧ καὶ τέθαπται.

Ἐκ τῆς εἰκοστῆς πρώτης Βίβλου καὶ στοιχείου Φ.

ΦΘΟ'ΡΟΣ, πόλισμα παράλιον Κεφαλληνίας, ἐπὶ τοῦ Χερσιδαμίου ἀκρωτηρίου ἐν τῷ πορθμῷ ἀντίον Ζεφύρου, πέντε πρὸς τοῖς δέκα σταδίους διειστήκει τῆς πόλεως Σάμης, κατ' Ἀπαρκτίου

ἀκτῆς· κτίσμα Φιλαέθλου Ἰθάρου καὶ Ἱππόκλης. Ἐν αὐτῇ γὰρ τῇ χώρᾳ ἀμύθητον πλῆθος ἀνθρώπων πεσόντες νεκροί, ὑπὸ ἀσθενείας ἀγνώστου φθαρέντες τὴν χώραν Φθόρον ἐκάλεσαν, ὡς Ἑκαταῖος καὶ Ἑλλάδιος. Τὸ ἐθνικὸν Φθόριος.

Ἐκ τῆς εἰκοστῆς δευτέρας Βίβλου καὶ στοιχείου Χ.

ΧΑΛΚΟΜΕΔΟΥ͂ΣΙΑ, οὐδετέρως, ὄρος Κεφαλληνίας, ἀντίον Λιβὸς, Κρονίου ἄκρου κατάντηστιν. Διειστήκει δὲ τὸ ὄρος τουτὶ τῆς μὲν Ταφιουσσαίων πόλεως ὀκτὼ πρὸς τοῖς εἴκοσι σταδίους, τῆς τῶν Παλέων δὲ πόλεως πέντε πρὸς τοῖς τριάκοντα, τῆς θαλάσσης δὲ τοῦ λιμένος τρεῖς πρὸς τοῖς δέκα. Ὠνόμασται δὲ οὕτως ἀπὸ στήλης τῆς Χαλκομεδούσης, ἣν Ἀρκείσιος ὁ ἀνὴρ αὐτῆς ἤγειρεν, ὡς Ἑλλάδιος καὶ Φόρβας.

ΧΑ΄ΡΙΣ, ἄκρον Κεφαλληνίας, ἡ πρὸς Εὗρον ῥὶς τοῦ Τηλεβόου ἀκρωτηρίου· ἀπὸ ξοάνου Χάριτος τῆς Θεᾶς γυναικὸς τοῦ Ἡφαίστου ἐν αὐτῷ ἱδρυμένου. Ἵδρυσε δὲ Ἀλαλκωμένιος ὁ Θύρσου καὶ Χάριτος, ὡς Φόρβας.

ΧΕΙ΄ΜΕΤΛΟΝ, ἀκτὴ ~~Κεφαλληνίας ἀντίον Ἀπηλιώτου καὶ~~ Λικριφάλου πολίσματος, διέχουσα τοῦ Χερσιδαμίου ἀκρωτηρίου περὶ ἑξήκοντα σταδίους, ἐν ᾗ ναῦς δολιχήρετμος, ἀλίφθορος γενομένη, καὶ τοῦ πληρώματος ἀνίατα παθόντος τῇ δριμύτητι τοῦ ψύχους, τὴν ἀκτὴν Χείμετλον προσηγόρευσαν οἱ κάτοικοι, ὡς Φόρβας καὶ Ἑλλάδιος φησί.

ΧΕΡΣΙΔΑ΄ΜΙΟΝ, ἀκρωτήριον Κεφαλληνίας, τὸ κατάντηστιν τῆς Ἐνδίφρου Ἰθακίδος ἀκτῆς, τῆς πρὸ πορθμοῦ, διέχον αὐτῆς εἴκοσι σταδίους παράπλουν. Ὠνόμασται δὲ ἀπὸ ἡρῴου Χερσιδάμου Πτερελάου καὶ Σθενελάης τοῦ ἐπὶ τοῦ πλησίον λόφου ἱδρυμένου, ὡς Ἑκαταῖος καὶ Ἑλλάδιος.

ΧΡΟΜΙ΄Α, χώρα Κεφαλληνίας· ἀπὸ Πτερελάου καὶ Βιοφθό-

ρης δευτέρας γυναικὸς αὐτοῦ. Ἔστι δὲ καὶ κωμόπολις παραλία, ἐπώνυμος τῷ ἥρωϊ Χρόμῳ, ἐν ᾗ καὶ ἱερὸν Διὸς Χρόμου. Διειστήκει δὲ τοῦ ἄκρου, τοῦ καλουμένου Κάπρου, σταδίους ἐννέα πρὸς τοῖς δέκα, τῆς Ἡράκλων δὲ κωμοπόλεως ἐγγὺς τῶν εἴκοσιν, ἀντίον Ἀπηλιώτου· Ἔχει δὲ ἐθνικὸν Χρόμιος, ὡς Ἑκαταῖος Φόρβας Ἑλλάδιος, καὶ Κλέανδρος ὁ Λακεδαιμόνιος.

Καὶ ταῦτα Σιμωνίδης ἔγραψεν;
Ὦ τῆς καθηγητικῆς ὑμῶν
μωρίας!!!

ΝΟΜΙΚΑ

Η

ΔΙΚΑΙΟΝ ΚΕΦΑΛΛΗΝΙΑΚΟΝ

ΕΚ ΤΩΝ ΤΟΥ

ΕΥΛΥΡΟΥ ΤΟΥ ΚΕΦΑΛΛΗΝΟΣ

ΑΝΘΡΩΠΙΝΩΝ

ΑΠΟΣΠΑΣΘΕΝΤΑ. (1).

Τάς δε τὰς ΓΡΑΦΑΣ Ἑρμοκλέοις Ἡδιβίου καὶ Εὐώπης ἡ Βουλὴ Κεφαλλήνων θύσασα Ζηνὶ ταύρους τρεῖς καθιεροῖ.

ΔΕΙ τῇ Βουλῇ Κεφαλλήνων θύειν κατὰ *Νουμηνίαν* ταύρους ζαλεύκους τρεῖς. Δεῖ δὲ καὶ τῇ Πρυτανείᾳ ἄλφιτα κομίζειν ἐν παροψίσι καιναῖς, καὶ ἀρώματα παρείρειν, καὶ περιστερὰς εἰς ὁλοκάρπωσιν τῇ Θεᾷ *Αλεξικάκῳ* τοῖς λαοῖς παῤῥησίᾳ περὶ μέσας νύκτας· Δεῖ δὲ καὶ φαινομηρίδας παρθένους στλιγγοφορούσας τρεῖς πρὸς ταῖς

(1) Τὸ χειρόγραφον τοῦτο τῶν ΑΝΘΡΩΠΙΝΩΝ γραφὲν τῷ 5980 Α. Κ. (473 Μ. Χ)· διαιρεῖται εἰς τριάκοντα καὶ δύω βίβλους, καὶ αὗται εἰς κεφ. 350· τὸ δὲ ὅλον ἐκ σελίδων 542 σύγκειται, ἐχούσης ἑκάστης στοίχους 89. Σώζει δὲ τοῦτο τὰς ἀρχαίας νομοθεσίας τῶν ἀρχαίων ἐθνῶν Βαρβάρων καὶ Ελλήνων, ὅσαι ἐπὶ τῶν ἡμερῶν τοῦ συγγραφέως ἐσώζοντο, καὶ ὅσας ἠδυνήθη συναθροῖσαι ἐν διαστήματι τῶν εἴκοσι καὶ τριῶν ἐτῶν τῆς περιηγήσεως αὐτοῦ. Σὺν τούτοις δὲ καὶ τὰ ἤθη ἔθιμα καὶ τὸν πληθυσμὸν ἑκάστης πόλεως, καθὼς καὶ τὴν γεωγραφικὴν θέσιν αὐτῶν καὶ καταγωγὴν τῶν κατοίκων περιγράφει κατ' ἔκτασιν. Εξ αὐτῆς λοιπὸν ταύτης τῆς πολυτίμου συγγαφῆς, ἀπέσπασα κἀγὼ τὰ τεμάχια ταῦτα τῆς Κεφαλληνιακῆς νομοθεσίας, χάριν τῶν φιλολόγων κτλ. Καὶ ταῦτα μὲν ἀπέσπασα ἐκ τῆς ιγ'. βίβλου· σύγκειται δὲ τὸ Κεφαλληνιακὸν τοῦτο δίκαιον τοῦ Ἑρμοκλέους ἐκ 12 τυπογραφικῶν φύλλων καὶ ἄρχεται μὲν, ὡς ἀνωτέρω, λήγει δὲ μέχρι τῶν ναυτικῶν δικαιωμάτων.

ἑξήκοντα ἡδυβρόους, λήκυθα μύρου φέρειν καὶ τὰ πλήθη περιῤῥαντίζειν, ἡδυεπούσας τὰ *Νουμήνια* ἐπὶ τοῦ σηκοῦ καθεστηκυίας; εὖτε *σιγῇ λαοῖς* ἠχήσει. Τοῖς δὲ Πυλαγόραις τράπεζαν ἀβρόδαιτον τοὺς Προέδρους παρασκευάζειν περὶ κυνὸς ἐπιτολάς· οὕτως ἔδοξε τῷ δήμῳ Κεφαλλήνων.

Τὸ *Θεῖον* δεῖ τιμᾷν κατὰ τὸ πάτριον καὶ τὰς *Ἁγιστείας* ἡ Βουλὴ ψηφιζέτω· τὸν ἀσεβοῦντα θανάτῳ ζημιούσθω.

Ἔδοξε τῇ Βουλῇ ἑκατόμβην θύειν κατ' ἐνιαυτὸν *Ζηνὶ Ὑψιζύγῳ*, τῇ πρώτῃ ἀπιόντος μηνὸς Ἑκατομβαιῶνος· καὶ τοῖς Ἱερεῦσι *Πομπείαν* ποιεῖν τῇ *Επίβδῃ*, καὶ Πρυτάνεις πομπεύειν σὺν ξυνορίσι λευκοῖς ἵπποις.

Ἔδοξε τὰ ὀφειλόμενα Ποσειδῶνι *Σῶστρα* τὸν δῆμον ἐπιτελεῖν κατὰ δεκάτην ἀπιόντος μηνὸς Γαμηλιῶνος.

Τὰ *Νυμφεῖα* τοὺς νυμφίους τελεῖν δεῖ δὶς τοῦ ἐνιαυτοῦ, ἀπιόντος Γαμηλιῶνος τρίτῃ καὶ νέᾳ Βοηδρομιῶνος· τῶν δὲ νυμφαγογέων ὀφείλειν θυσίαν τῇ *Ἐφόρῳ* περιστερῶν ζεῦγος, ὁ παρορῶν ταλάντου ζημιούσθω.

Τὰ *Αμείλικτα* τοὺς Ἱερεῖς ἐπιτελεῖν δεῖ τῇ τρίτῃ μεσοῦντος μηνὸς Ἐλαφιβολιῶνος, καὶ ἀμνάδας τοὺς Ζακόρους θύειν τρεῖς πρὸς τοῖς δέκα ζαλεύκους, καὶ δίκταμα στρωννύειν τὰ δάπεδα τῷ ναῷ.

Τὰ *Μηκώνια* καὶ *Αλλοπρόσαλλα* τὰς διγάμους τῇ πέμπτῃ μεσοῦντος Θαργηλιῶνος ἐπιτελεῖν· καὶ νήσσας ζοφερὰς θύειν ζεῦγος ἑκάστῃ τῇ Θεᾷ, καὶ μυρινήτην προχέειν τρὶς τὸν ἄνδρα τῆς γυναικὸς, καὶ τὰ κρέα παροπτάειν καὶ συνεσθίειν τοῖς ἑστηκόσι.

Τὰ *Σελασφόρα* τὴν πόλιν ἐπιτελεῖν τῇ τρίτῃ ἱσταμένου Θαργηλιῶνος, καὶ κριοὺς θύειν τῷ Θεῷ ἀνὰ πεντάδας ἀνδρῶν, καὶ ἀβροειμόνους παρθένους ἡγνευμένως πυρφόρα κομίζειν ζωπίσσας καὶ τἄλλα, καὶ ἐθύγματα ποιεῖν τῇ ὄψει καλά· Τοὺς δ' ἀβρομίτρας Ἱερεῖς, ἐφ' ἅρματος ὀχουμένους ἄρδην τὸ ἄγαλμα φέρειν περὶ τὴν πόλιν τῶν νεανίδων σελασφορουσῶν.

Τὰ *Ὀβριμόθυμα* τοὺς στρατευσίμους ἐν πανοπλίᾳ ἀβακέως ἐπιτελεῖν τῇ πρώτῃ ἀπιόντος Σκιροφοριῶνος καὶ τὸ ἄγαλμα ἀβρο-

ἐλατεῖν περὶ τὴν πόλιν ἐπὶ ἀθόλοις ἵπποις. Τοὺς δε Ἱερεῖς ἀβρομίτρας καὶ χρυσοπεδίλους παρακολουθεῖν. Τὰς Ἱερείας δὲ κροκυφαντοφορῆναι δεῖ καὶ περὶ τὸ ἄγαλμα ὀπισθοπορεῖν ἑκατέρωσε, καὶ μύρα ἀβροτόνιτα φέρειν καὶ τὰ πλήθη περιῤῥαντεῖν. Θύειν δὲ καὶ κάπρους τρεῖς τῆς πόλεως ἔξωθεν τοὺς Πρυτάνεις.

Τὰ *Εὑρεσίτεχνα* τὰς φρατρίας τῶν ἀγαυῶν εὐπατρίδων ἐπιτελεῖν τῇ ἐννάτῃ ἱσταμένου Μεμακτιριῶνος, καὶ ἀμνοὺς αἰολομόρφους ἁγνίζειν ζεῦγος ἕκαστον, τὸ δ' ἄγαλμα τῆς Θεᾶς παρθένους θεολωβήτους ἀγανόπιδας ἀνέδην ἀπὸ χθονὸς αἴρειν καὶ τοῖς ἀγηνόροις Ἱερεῦσι διδόναι· τοὺς δ' ἀγκαδὸν φέρειν δεῖ περὶ τὴν πόλιν τρίς, τῆς Ἠοῦς ὑποφαινομένης, καὶ τὰ *Εὑρεσίτεχνα* ἀγαφθέγγειν ἀβρόμως ἐναλλάξ. Τὰς δὲ Ἱέρειας ἀβροδινοφορούσας βήματα πέντε τοῦ ἀγάλματος ἔμπροσθεν βαδίζειν, καὶ τὴν ὁδὸν τῆς Θεᾶς τὴν ἔξω τῶν πυλῶν ἄγουσαν ὑποστρωννύειν βρόμον.

Τὰ *Μεγάθυμα* τοῖς λαοῖς τῆς νήσου ἁπάσης ἦν οἰκεῖον ἐπιτελεῖν μεσοῦντος Πιανεψιῶνος τρίτῃ, καὶ βοῦς ἄζυγας θύειν πρὸ τῶν πυλῶν ἐπὶ τοῦ κολωνοῦ τοῦ κατάντιστην τρεῖς πρὸς τοῖς τριάκοντα, οἳ μάλα ἥβωῦσιν, ἀγλαόγυιοι, καὶ τὸ αἷμα τὸ ἐκχεόμενον ἐν ἀμνίοις χρυσοῖς ἀθροίζειν δεῖ, βαθυσμήριγκας παρθένους, καὶ σὺν ἀβροτονίτῳ μιγνύειν, καὶ τοὺς κρωβίλους, κόρυθας, λόγχας, καὶ ἀσπίδας χρίειν τῶν στρατευσίμων, διὰ κοριάννου, ὡς ἄγκαθεν.

Τὰ *Τοξοδάμνεια* τοὺς ἀγεστράτους ἐπιτελεῖν τῇ ἐννάτῃ Ἀνθεστηριῶνος καὶ τριτύας βαθυπλεύρους εὐρυμετώπους ἀδμήτους βόας θύειν κνιζηδὸν τοὺς βαθυχαίους τῶν πολιτῶν, εὖτε τὸ λυκαυγὲς ἐγγὺς ἦν προβῆναι, καὶ ὅπλα τὰ βαθύγηρα καίειν, καὶ τοὺς χρυσοπήλυκας βαθυφώνους ἁγνοὺς τῶν μαχίμων παιανίζειν δεῖ τοῦ ἀγάλματος τοῦ Θεοῦ πέρι τὰ *Τοξοδάμνεια*. Τὰς δ' ἐπῳδὰς παρθένους ἀβροβόστρυχας χρυσοπάστους.

Τὰ *Βαρυμάχεια* τοὺς μαχίμους σύμπαντας ἐπιτελεῖν, καὶ δωδεκαΐδα θύειν κριῶν ἐπιβωμίαν, τῇ εἰκάδι Σκιροφοριῶνος, καὶ τὰ σφάγια διπτυχιδὸν θῦναι δεῖ. Τοὺς δὲ βαθυστέρνους καὶ χρυσαρμάτους κορθυδὸν φέρειν τὸ ἄγαλμα, καὶ περὶ τὴν πόλιν ἐν ῥυθμῷ βαίνειν·

δεῖ δε καὶ ἀγανοβλεφάρους παρθένους καὶ βαθυκόλπους προπορεύεσθαι καὶ τὰ *Βαρυμάχεια* ᾄδειν, καὶ τὴν στρόφιγγα κρούειν.

Τὰ *Γαμοστόλεια* τὸ θῆλυ γένος ἐπιτελεῖν, Μεταγειτνιῶνος ἀπιόντος πρώτῃ, καὶ παρθένους ἀκμαίας ἰοστεφάνους θύειν γαλερῶς, λαγιδεῖς τρεῖς πρὸς τοῖς ἑξήκοντα, τὰς δὲ γάμου ὡραίας ἀβροστρύχους χρυσοπεδίλους παρεῖναι τῆς θυσίας κύκλῳ, καὶ ἀγάλματος καὶ τοῦ ναοῦ κροκυφαντοφορούσας τὰ πάντα χρυσοπήνους. καὶ μυῤῥίνην τε καὶ μηλίδων καρπὸν καὶ τῶν ἀνθῶν τὰ κρίνα τῇ δεξιᾷ κατέχειν χειρὶ, σὺν κεστῷ χρυσοπάστῳ καὶ τὰ *Γαμοστόλεια* ᾄδειν ἀγλαοφώνως. Τοὺς δε σφῶν ἐραστὰς θύειν ἐπιβωμίας περιστερῶν ζεῦγος ζαλεύκων σὺν τοῖς ἀμφοῖν σφετέροις· καὶ θυμηδίαν ποιεῖσθαι τοῖς λόγοις ἑκατέρωσε τοῦ ἱερείου σφαδάττοντος, θυμηδέσι λόγοις χρησαμένους. Χρὴ δὲ καὶ τοὺς Ἱερομνήμονας τὰς προσηγορίας τῶν τ' ἐραστῶν καὶ ἐραστριῶν γράφειν, καὶ τὰς θυσίας ἐπὶ πετάλλοις λείοις τε μηλίδος, ἃ καὶ φυλάξαι ἡμέρας γάμου μέχρις ἐν τοῖς ὑμεναίοις, καὶ τῷ νυμφίῳ διδόναι τὴν ταχίστην, εὖτε ὥρα σημανεῖ, καὶ μνᾶς λαμβανέτω δῶρον τρεῖς καὶ πελάνους καὶ ποπάνους, ἐν χρυσοπέσι κεστοῖς καὶ ἀμφορέσι χρυσοποικίλοις· Ὁ δ' ἀθετῶν ὀφείλει τῇ Θεᾷ θυσίαν ὠῶν δωδεκαΐδος τῇ ὑστεραίᾳ.

Καὶ ταῦτα Σιμωνίδης ἔγραψεν; ὢ τῆς ἀνοίας ἡμῶν τῆς μεγάλης!!! Καὶ λοιπὸν νομοθέτης ὁ Σιμωνίδης καὶ μάλιστα οἷος ὁ Ἑρμοκλῆς οὗτος; ὢ τῆς ὑπὲρ λίπους παχυτάτης ὑμῶν κρίσεως!!! Ἐπινόησις καὶ αὕτη Σιμωνίδου;
ἢ οὗτινος ἄλλου. ὢ τῆς βρεφικῆς
ὑμῶν γνώσεως τῆς ἀξίας
ἐλέους!!!

ΠΡΟΑΓΓΕΛΙΑ

ΤΗΣ ΠΡΩΤΗΣ ΒΙΒΛΟΥ ΤΩΝ

ΕΘΝΙΚΩΝ

ΤΟΥ ΚΕΦΑΛΛΗΝΟΣ ΕΥΛΥΡΟΥ.

ΕΚΔΟΥΣ τὰ ἀνὰ χεῖρας ἀποσπάσματα, ὦ φίλοι ὁμογενεῖς, οὐδέν' ἄλλον σκοπὸν εἶχον, εἰμὴ ἵνα ψεύσω τοὺς εἰπόντας καὶ γράψαντας ταῦτα « Εὔλυρος οὐχ ὑπάρχει, καὶ ἂν ὑπάρχῃ τὰ τρία μόνον πρῶτα φύλλα, ἃ καὶ Σιμωνίδης ἔδειξεν ἡμῖν ». Διὰ τῆς ἐκδόσεως λοιπὸν αὐτῶν ψεύδω τοὺς καταφλυαρήσαντας τοσαῦτα ἀναιδῶς παραπλησίως τοῖς ἀγοραίοις, διότι οὐχὶ ἐκ μιᾶς μόνης βίβλου ἀπέσπασα καὶ ἐξέδωκα, ἀλλ' ἐκ τῶν πλείστων σχεδόν. Καὶ τούτους μὲν καταφρονήσομεν καὶ συγχωρήσομεν· ἔχουσι γὰρ οὗτοι δικαστὴν τὴν συνείδησιν αὐτῶν, καὶ ἀριστεῖον βαρὺ περὶ τὸν τράχηλον τὸ αἰώνιον αἶσχος! ἡμεῖς δὲ ἐπὶ τὸ προκείμενον ἐπάνιμεν.

Ἡ Εὐλύριος αὕτη συγγραφὴ τῶν τε ΑΝΘΡΩΠΙΝΩΝ καὶ ΕΘΝΙΚΩΝ διαφυγοῦσα τὸ ὄμμα τοσούτων καταστρεπτικῶν αἰώνων ἐσώθη ἐν ταῖς χερσὶν ἡμῶν πρὸς δόξαν τῆς Ἑλληνικῆς φυλῆς. Διδάξει γὰρ πάντας ἡμᾶς τε καὶ τοὺς ξένους μετὰ πολλῆς τῆς λεπτομερίας τὴν ἀρχαίαν γεωγραφίαν, καὶ τὰ τολμηρὰ ἐξελέγξει ψεύδη πολλῶν ἱστορικῶν τοῦ αἰῶνος ἡμῶν, καθὼς καὶ γεωγράφων καὶ ἀρχαιολόγων καὶ πολλοὺς αὐτῶν σωφρονήσει. Καλύψει δὲ ἅπασα ἡ τοῦ Εὐλύρου συγγραφὴ 4,000 περίπου σελίδων, καὶ τῶν μὲν Ἐθνικῶν τὸ ἐμπεριεχόμενον γνωστὸν ἐκ τοῦ ὀνόματος καὶ τῶν ἀνὰ χεῖρας ἀποσπασμάτων, τῶν δὲ Ἀνθρωπίνων προεῤῥέθη.

Τὰ Ἐθνικὰ φέρουσι καὶ πίνακας χωρογραφικοὺς χρώμασι παντοίοις ἐπὶ μεμβρανῶν, Βυζαντινῷ τῷ τρόπῳ 205, δι' ὧν ἡ συγγραφὴ καταληπτὴ γίνεται. Φέρουσι δὲ ἐπὶ κεφαλῆς ταύτην τὴν ἐπιγραφήν, Πίνακες Εὐλύρου καθ' ἃ Ἀναξίμανδρος ὁ Μιλήσιος, Ἑκαταῖος ὁ Μιλήσιος, Ἀριστοκλῆς ὁ Κνίδιος, Πυθέας ὁ Μασσαλιώτης, Ἐρατοσθένης ὁ Κυρηναῖος, Ἑλλάδιος ὁ Κεφαλλὴν καὶ Λαόστεφος ὁ Συμαῖος ἐν πίναξι καὶ λίθοις.

Ἐκ τῶν Ἐθνικῶν λοιπὸν ἀποφασίσας τὴν δημοσίευσιν τῆς Α'. βίβλου αὐτῶν ἀντέγραψα μετὰ πολλῆς τῆς δυσκολίας καὶ παρέβαλον τετράκις πρὸς τὸ πρωτότυπον. Τὴν πρώτην ταύτην βίβλον ἑτοιμάσας καθ' ὅλα πρὸς δημοσίευσιν παρέβαλον καὶ πρὸς ἄλλα τῶν γνωστῶν λεξικῶν, καὶ πρὸ πάντων πρὸς τὸ τοῦ Βυζαντίου Στεφάνου, καὶ εὗρον μεγάλην τὴν διαφοράν· καὶ ὁ μὲν Στέφανος σώζει 545 περίπου ὀνόματα πόλεων, χωρῶν κτλ. καὶ ταῦτα περιλειπτικῶς ὁ δὲ Εὔλυρος 1698 κατ' ἔκτασιν, ἐν τῇ πρώτῃ βίβλῳ.

Ἡ βίβλος αὕτη δημοσιευομένη ὑπερβήσεται τὰ εἴκοσι τυπογραφικὰ φύλλα· Διὸ καὶ ἐπικαλοῦμαι τὴν συνδρομὴν τῶν ὁμογενῶν μου, ἰδίως δὲ τῶν μεγαθύμων Κεφαλλήνων, ὧν καὶ δόξα κατὰ μέγα μέρος ὑπάρχει ἡ συγγραφή.

Πρὸς ταύτῃ δὲ τῇ βίβλῳ προαγγέλω ἔτι καὶ τὴν δημοσίευσιν τῶν πρώτων Ἑκαταίου τοῦ Μιλησίου ἓξ βίβλων τῶν ἐπιγεγραμμένων, *Περιηγήσεων Ἀσίας βίβλοι ἓξ* ἐκ τῶν τοῦ Ἑκαταίου τοῦ Μιλησίου ὀκτωκαίδεκα τῶν Περιηγήσεων Ἀσίας.

Ὁ Μιλήσιος οὗτος Ἑκαταῖος ὑπάρχει γνωστὸς παρὰ πᾶσι, καὶ ἰδίως τοῖς περὶ τὴν φιλολογίαν ἀσχολουμένοις, καθ' ὃ μνημονευόμενος ἐν πολλοῖς τῶν ἀρχαίων συγγράμμασι, δι' ὅσα ἔγραψεν. Εἰς ἡμᾶς δὲ τὸ ὄνομα μόνον, οὐχὶ δὲ καὶ τὰ συγγράμματα αὐτοῦ δυστυχῶς ἀπεσώθη.

Χάρις δὲ εἰς Ἱεροδάμαντα τὸν Συμαῖον, τὸν τῆς Ἱστορίας διδάσκαλον ἐν τῇ Συμαΐᾳ Σχολῇ, ὅστις διέσωσε μετ' ἄλλων καὶ τὰ συγγάμματα τοῦ ἀνδρὸς τούτου περίληψιν αὐτῶν συνοπτικὴν ποιησάμενος, ὡς ἐκ τῆς ἀκολούθου ἐπιγραφῆς γίνεται δῆλον.

» **ΠΕΡΙΛΗΨΕΙΣ** τῆς ὁλικῆς Ἑκαταίου τοῦ Μιλησίου συγ-
» γραφῆς, τῆς καὶ **ΠΕΡΙΟΔΟΥ ΓΗΣ** ἐπιγεγραμμένης καὶ
» εἰς ἓξ πρὸς τοῖς ἑκατὸν ὑποδιηρημένης, ἃς Ἱεροδάμας ὁ
» Συμαῖος ὁ τοῦ Νιρέως καὶ Παρθενίας εἰς ἐννέα πρὸς ταῖς
» πεντήκοντα βίβλους περιληπτικῶς συνετάξατο τῷ ,εωλζ΄.
» (389 μ. Χ.) χάριν τῶν ἐν τῇ Ἀπολλωνιάδῃ σχολῇ ἐπὶ
» τῇ Ἱστορίᾳ ἐντρυφώντων νέων. (ἴδε καὶ προλεγ.).

Ἔτη δύο καὶ μικρὸν ἔτι πρὸς καταγίνομαι ἀντιγράφων τὴν προῤῥηθεῖσαν ἑξάβιβλον ἀλλ' εἰσέτι τὸ ἔργον οὐκ ἦλθεν εἰς πέρας. Κηρύττω δὲ τὴν δημοσίευσιν, ἵνα τοὺς μὲν τῆς ἀληθείας φίλους ἐνισχύσω, τοὺς δὲ τοὐναντίον καταισχύνω, οἵτινες

« Πολλ' ἐπίστανται ἔργα, κακῶς δ' ἐπίστανται πάντα »

Ἐμοὶ δὲ θρίαμβος ἂν ὑπῆρχεν, εἴπερ οἱ παλίμβουλοι οὗτοι ἐδημοσίευον τὰς μωρὰς αὐτῶν ἐκθέσεις, (1) ἀλλ' ἢ οὕτως ἢ ἄλλως ἱκανῶς

(1) Γενομένων τῶν ἐπιτροπῶν καθ' ὅλην τὴν ἐπισημότητα, καὶ κηρυχθέντων ὁτὲ
μὲν ὑπὲρ, ὁτὲ δὲ κατὰ, ἀπεποιήθησαν ἵνα τὰς κρίσεις αὐτῶν δημοσίως εἴπωσι καίτοι
προσκληθέντες δεκάκις κατ' ἐπανάληψιν κρύπτοντες τὴν ἀμάθειαν αὐτῶν ἐν τῇ σιω-
πῇ ἐξαιρουμένων τῶν πρώτων μελῶν Κ. Γ. Τυπάλδου Κοζάκου ἐφόρου τῆς δημοσίου
βιβλιοθήκης καὶ τοῦ σοφοῦ Κ. Οἰκονόμου τῶν κηρυχθέντων ὑπὲρ τῆς γνησιότητος
τῶν χειρογράφων. Ὁ σοφὸς μάλιστα Οἰκονόμος θεωρῶν αὐτὰ καθ' ὅλα γνήσια καὶ λα-
βὼν περί τινων, ἀφορμὴν, ταῦτ' ἔγραψεν ἐν τῇ τετάρτῃ βίβλῳ αὐτοῦ τῆς περὶ τῶν
Ο, συγγραφῆς « Τοιοῦτο χειρόγραφον ΑΡΧΑΙΟΝ σώζεται, γραφὲν εἰς τὴν χυδαίαν
διάλεκτον ὑπὸ Διονυσίου τοῦ Ἱερομονάχου καὶ Ζωγράφου, τοῦ ἐκ Φουρνᾶ τῶν Αγρά-
φων (ἐν Ἄθωνι, ἔτει αυνή. 1458), Ἑρμηνεία τῶν Ζωγράφων ὡς πρὸς
τὴν Ἐκκλησιαστικὴν Ζωγραφίαν ἐπιγεγραμμένον κλτ. (ἴδε σελ. 218)
Ταῦτα λέγει περὶ τοῦ χειρ. τοῦ ἔχοντος τὴν συνταγὴν τῆς Ἡλιοτυπίας περὶ
οὗ λαλήσομεν ἐν καιρῷ· Καὶ πάλιν ἐν σελ. 110 τῆς αὐτῆς Δ΄. βίβλου ταῦτα λέγει
(περὶ τῆς Βυζαντίδος). »Ἔχει τὸ Μακκαβαίων γ΄. καίτοι τῶν Ἀποστολικῶν κανόνων
ἀντίγραφον ΧΑΙΣ ΠΑΛΑΙΟΝ ἐν μεμβράναις, τοῦ ιγ΄. Αἰῶνος (τῷ 1237) ὅπερ ἴδομεν
νεωστὶ ἐν Ἀθήναις ». Ἐγὼ δὲ δικαιοῦμαι μετὰ τοσαύτας πρὸς αὐτοὺς προσκλήσεις
ἵνα δημοσιεύσω τὰς ἀκρίτους καὶ παιδαριώδεις αὐτῶν κρίσεις καὶ πάντως γελοίας
πρὸς κοινὸν ἔλεγχον, ἃς καὶ ἐσημείωσα τότε, ὅτε καὶ ἐγένοντο κατ' ἐρωταπόκρισιν.
Λυπηρὸν λυπηρότατον ὄντως ἐστιν, ἵνα βλέπῃ τις τινὰς τῶν καθηγητῶν γεγηρακότας
μὲν περὶ τὰ γράμματα μὴ ἔχοντας δὲ κρίσιν οὐδὲ κόκκῳ σινάπεως ἴσην.

ἐξετέθησαν οὗτοι, ἐγὼ δὲ ἄρχομαι τῆς δημοσιεύσεως τούτων, καὶ τῶν λοιπῶν κλασικῶν πρὸς δόξαν τοῦ ἔθνους καὶ καταισχύ-
τῶν σοφῶν ἡμῶν τῶν ἐκ προθέσεως κατηγορούντων καὶ
ἐν ἴδωσί τι.

Ἡ Ἑξάβιβλος δημοσιευομένη καταλύψει 880 σελ: ἡ δὲ τιμὴ ἑκάστης βίβλου δραχ: 8 Αἱ συνδρομαὶ ἐν Ἀθήναις παρὰ τοῖς τυπογράφοις Φ. Καραμπίνῃ, Κ. Βάρα καὶ Ἀθα: Ζωσιμᾷ βιβλιοπώλῃ· ἀλλαχοῦ δὲ παρὰ τοῖς ἐπιφορτισθησομένοις.

Ἀθήνησι 1850 Ἀπριλίῳ μηνί.

Ὁ ἐκδότης

Κ. ΣΙΜΩΝΙΔΗΣ.